GREEK SERIES · VOLUME 84

Antidosis

Isocrates

ΠΕΡΙ ΤΗΣ ΑΝΤΙΔΟΣΕΩΣ

Antidosis

With the Panathenaicus, the Evagoras, and Five More Discourses

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 84 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Norlin's Loeb Isocrates; the Evagoras,
Helen, and Busiris in Benseler and Blass's Teubner

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editors seclude are not printed; words
they supply are printed without their brackets.

CONTENTS

ANTIDOSIS

I · Why He Writes 11
II · The Charge and His Life 21
III · His Discourses and the Panegyricus 31
IV · To Nicocles, and Laws and Speeches 42
V · His Pupils and Timotheus 52
VI · The Generalship of Timotheus 62
VII · Why Timotheus Was Disliked 73
VIII · His Wealth and the City 83
IX · The Nature of His Education 93
X · Education Can Improve 104
XI · No Teacher Profits by Corruption 114
XII · The Envy of Eloquence 125
XIII · What Philosophy Truly Is 135
XIV · The City and the Defense Ends 146

PANATHENAICUS

I · An Old Man's Theme 167
II · Who Is Educated 177
III · Athens and Sparta Compared 188
IV · The Praise of Agamemnon 199
V · Sparta's Wrongs to the Greeks 210
VI · The Ancestors' Constitution 222
VII · How the Old Democracy Governed 232
VIII · Lycurgus and the War Deeds 243
IX · Sparta's Origins and the Old Wars 254
X · The Pupil's Objection 265
XI · Concord and the Pupil's Departure 277
XII · The Hidden Meaning and the End 288

EVAGORAS

I · The Gift of a Speech 307
II · Evagoras Takes the Throne 317
III · His Rule and Conon 327
IV · The War with the King, and Nicocles 336

HELEN

I · Against the Sophists, and Helen's Birth 351
II · The Praise of Theseus 361
III · The War and Her Power 371

BUSIRIS

I · Busiris' Land and Laws 387
II · Egypt's Piety and Polycrates' Faults 398

TO NICOCLES

I · What a King Must Know 413
II · Precepts and the Gift Defended 425

NICOCLES

I · Speech and the Case for Monarchy 441
II · His Title, Justice, and Temperance 451
III · What the King Asks of His Subjects 461

TO DEMONICUS

I · The Precepts on Virtue and Friends 475
II · Further Precepts and the Bee 487

ISOCRATES

ΠΕΡΙ ΤΗΣ ΑΝΤΙΔΟΣΕΩΣ

Antidosis

I · WHY HE WRITES

This discourse is unlike those written for the courts or for display, so Isocrates explains it first. Some sophists slander his occupation as the writing of court speeches, and though he long kept quiet among private men, an exchange of property brought against him lately showed how many misjudge him: his opponent said nothing just, but slandered the power of his speeches and his wealth. He resolved to write a speech that would be an image of his mind and his life, a defense set in a pretended trial, since a plain eulogy of himself would give offense. He wrote it at eighty-two, so the reader must pardon its softness; it mixes forensic matter with free speech about philosophy and passages from his earlier works. Then the defense begins: Lysimachus accuses him of the very things he himself is guilty of, and Isocrates asks the jurors to hear him to the end without uproar.

εἰ μὲν ὅμοιος ἦν ὁ λόγος ὁ μέλλων ἀναγνωσθήσεσθαι 1
if indeed like were the speech the going to-be-read
τοῖς ἢ πρὸς τοὺς ἀγῶνας ἢ πρὸς τὰς ἐπιδείξεις
to-the-ones either for the contests or for the displays
γιγνομένοις, οὐδὲν ἂν οἶμαι προδιαλεχθῆναι περὶ αὐτοῦ·
composed nothing — I-think to-discourse-beforehand about it
νῦν δὲ διὰ τὴν καινότητα καὶ τὴν διαφορὰν ἀναγκαῖόν
now but because-of the novelty and the difference necessary
ἐστι προειπεῖν τὰς αἰτίας, δι' ἃς οὕτως ἀνόμοιον αὐτὸν
it-is to-state-first the causes through which so unlike it
ὄντα τοῖς ἄλλοις γράφειν προειλόμην· μὴ γὰρ τούτων
being to-the others to-write I-chose not for these
δηλωθεισῶν πολλοῖς ἂν ἴσως ἄτοπος εἶναι δόξειεν.
having-been-made-clear to-many — perhaps strange to-be it-would-seem
ἐγὼ γὰρ εἰδὼς ἐνίους τῶν σοφιστῶν βλασφημοῦντας 2
I for knowing some of-the sophists slandering
περὶ τῆς ἐμῆς διατριβῆς, καὶ λέγοντας ὡς ἔστι περὶ
about the my occupation and saying that it-is about

δικογραφίαν, καὶ παραπλήσιον ποιοῦντας ὥσπερ ἂν εἴ
the-writing-of-court-speeches and like-thing doing as — if
τις Φειδίαν τὸν τὸ τῆς Ἀθηνᾶς ἔδος ἐργασάμενον τολμῴη
anyone Pheidias the-one the — of-Athena statue having-made should-dare
καλεῖν κοροπλάθον, ἢ Ζεῦξιν καὶ Παρράσιον τὴν αὐτὴν
to-call a-doll-maker or Zeuxis and Parrhasius the same
ἔχειν φαίη τέχνην τοῖς τὰ πινάκια γράφουσιν, ὅμως
to-have should-say art as-the-ones the little-tablets painting nevertheless
οὐδὲ πώποτε τὴν μικρολογίαν ταύτην ἠμυνάμην αὐτῶν,
not-even ever the pettiness this I-repelled of-them
3 ἡγούμενος τὰς μὲν ἐκείνων φλυαρίας οὐδεμίαν δύναμιν ἔχειν,
thinking the indeed their babblings no power to-have
αὐτὸς δὲ πᾶσι τοῦτο πεποιηκέναι φανερόν, ὅτι προῄρημαι
myself but to-all this to-have-made evident that I-have-chosen
καὶ λέγειν καὶ γράφειν οὐ περὶ τῶν ἰδίων συμβολαίων, ἀλλ᾽
both to-speak and to-write not about the private contracts but
ὑπὲρ τηλικούτων τὸ μέγεθος καὶ τοιούτων πραγμάτων,
about such-great in-the size and such affairs
ὑπὲρ ὧν οὐδεὶς ἂν ἄλλος ἐπιχειρήσειε, πλὴν τῶν ἐμοὶ
about which no-one — other would-attempt except the-ones with-me
πεπλησιακότων ἢ τῶν τούτους μιμεῖσθαι βουλομένων.
having-associated or the-ones these to-imitate wishing
4 μέχρι μὲν οὖν πόρρω τῆς ἡλικίας ᾠόμην καὶ διὰ τὴν
until indeed then far-into the age I-thought both because-of the
προαίρεσιν ταύτην καὶ διὰ τὴν ἄλλην ἀπραγμοσύνην
choice this and because-of the other quietism
ἐπιεικῶς ἔχειν πρὸς ἅπαντας τοὺς ἰδιώτας· ἤδη δ᾽
reasonably to-stand toward all the private-men now but
ὑπογυίου μοι τῆς τοῦ βίου τελευτῆς οὔσης, ἀντιδόσεως
near to-me the of-the life end being an-exchange-of-property
γενομένης περὶ τριηραρχίας καὶ περὶ ταύτης ἀγῶνος
having-been-proposed about a-trierarchy and about this a-trial

ἔγνων καὶ τούτων τινὰς οὐχ οὕτω πρός με διακειμένους
I-recognized also of-these some not so toward me disposed
ὥσπερ ἤλπιζον, ἀλλὰ τοὺς μὲν πολὺ διεψευσμένους
as I-hoped but the-ones indeed much mistaken
τῶν ἐμῶν ἐπιτηδευμάτων καὶ ῥέποντας ἐπὶ τὸ πείθεσθαι
about-the my occupations and inclining to the to-be-persuaded
τοῖς ἀνεπιτήδειόν τι λέγουσι, τοὺς δὲ σαφῶς
by-the-ones unfit something saying the-others but clearly
μὲν εἰδότας περὶ ἃ τυγχάνω διατρίβων, φθονοῦντας δὲ
indeed knowing about what I-happen spending-time envying but
καὶ ταὐτὸν πεπονθότας τοῖς σοφισταῖς καὶ χαίροντας ἐπὶ
and the-same having-suffered as-the sophists and rejoicing at
τοῖς ψευδῆ περί μου δόξαν ἔχουσιν.
the-ones false about me opinion having
ἐδήλωσαν δ' οὕτω διακείμενοι· τοῦ γὰρ ἀντιδίκου περὶ μὲν 5
they-showed and so disposed of-the for opponent about indeed
ὧν ἡ κρίσις ἦν οὐδὲν λέγοντος δίκαιον, διαβάλλοντος δὲ
what the judgment was nothing saying just slandering but
τὴν τῶν λόγων τῶν ἐμῶν δύναμιν καὶ καταλαζονευομένου
the of-the speeches the my power and boasting-falsely
περί τε τοῦ πλούτου καὶ τοῦ πλήθους τῶν μαθητῶν,
about both the wealth and the number of-the pupils
ἔγνωσαν ἐμὴν εἶναι τὴν λειτουργίαν. τὴν μὲν οὖν δαπάνην
they-decided mine to-be the public-service the indeed then expense
οὕτως ἠνέγκαμεν, ὥσπερ προσήκει τοὺς μήτε λίαν ὑπὸ
so we-bore as befits the-ones neither too by
τῶν τοιούτων ἐκταραττομένους μήτε παντάπασιν ἀσώτως
the such-things being-upset nor altogether prodigally
μηδ' ὀλιγώρως πρὸς χρήματα διακειμένους·
nor carelessly toward money disposed

6 ἠσθημένος δ᾽ ὥσπερ εἶπον πλείους ὄντας ὧν ᾠόμην
having-perceived and as I-said more being than I-thought
τοὺς οὐκ ὀρθῶς περί μου γιγνώσκοντας, ἐνεθυμούμην
the-ones not rightly about me judging I-considered
πῶς ἂν δηλώσαιμι καὶ τούτοις καὶ τοῖς ἐπιγιγνομένοις
how — I-might-show both to-these and to-the later-generations
καὶ τὸν τρόπον ὃν ἔχω καὶ τὸν βίον ὃν ζῶ καὶ
both the character which I-have and the life which I-live and
τὴν παιδείαν περὶ ἣν διατρίβω, καὶ μὴ περιίδοιμι περὶ
the education about which I-spend-time and not I-might-overlook about
τῶν τοιούτων ἄκριτον ἐμαυτὸν ὄντα, μηδ᾽ ἐπὶ τοῖς
the such-things unjudged myself being nor at the-ones
βλασφημεῖν εἰθισμένοις ὥσπερ νῦν γενόμενον.
to-slander accustomed as now having-become
7 σκοπούμενος οὖν εὗρισκον οὐδαμῶς ἂν ἄλλως τοῦτο
considering then I-found in-no-way — otherwise this
διαπραξόμενος, πλὴν εἰ γραφείη λόγος ὥσπερ εἰκὼν
being-going-to-accomplish except if should-be-written a-speech as-it-were image
τῆς ἐμῆς διανοίας καὶ τῶν ἄλλων τῶν ἐμοὶ βεβιωμένων·
of-the my mind and of-the other-things the by-me lived
διὰ τούτου γὰρ ἤλπιζον καὶ τὰ περὶ ἐμὲ μάλιστα
through this for I-hoped both the-things about me most
γνωσθήσεσθαι, καὶ τὸν αὐτὸν τοῦτον μνημεῖόν μου
to-be-going-to-be-known and the same this memorial of-me
καταλειφθήσεσθαι πολὺ κάλλιον τῶν χαλκῶν ἀναθημάτων.
to-be-going-to-be-left much finer than-the bronze statues
8 εἰ μὲν οὖν ἐπαινεῖν ἐμαυτὸν ἐπιχειροίην, ἑώρων οὔτε
if indeed then to-praise myself I-should-attempt I-saw neither
περιλαβεῖν ἅπαντα περὶ ὧν διελθεῖν προῃρούμην οἷός
to-embrace all about which to-go-through I-was-choosing able
τε γενησόμενος, οὔτ᾽ ἐπιχαρίτως οὐδ᾽ ἀνεπιφθόνως εἰπεῖν
— going-to-be nor gracefully nor inoffensively to-speak

περὶ αὐτῶν δυνησόμενος· εἰ δ' ὑποθείμην ἀγῶνα μὲν καὶ
about them going-to-be-able if but I-should-suppose a-trial indeed and
κίνδυνόν τινα περὶ ἐμὲ γιγνόμενον, συκοφάντην δ' ὄντα
danger some about me arising sycophant and being
τὸν γεγραμμένον καὶ τὸν πράγματά μοι παρέχοντα,
the-one having-indicted and the-one troubles to-me causing
κἀκεῖνον μὲν ταῖς διαβολαῖς χρώμενον ταῖς ἐπὶ τῆς
and-him indeed the slanders using the at the
ἀντιδόσεως ῥηθείσαις, ἐμαυτὸν δ' ἐν ἀπολογίας σχήματι
exchange spoken myself but in of-a-defense form
τοὺς λόγους ποιούμενον, οὕτως ἂν ἐκγενέσθαι μοι μάλιστα
the speeches making so — to-be-possible for-me most
διαλεχθῆναι περὶ ἁπάντων ὧν τυγχάνω βουλόμενος.
to-discourse about all which I-happen wishing
ταῦτα δὲ διανοηθεὶς ἔγραφον τὸν λόγον τοῦτον, οὐκ 9
these-things and having-considered I-was-writing the speech this not
ἀκμάζων, ἀλλ' ἔτη γεγονὼς δύο καὶ ὀγδοήκοντα. διόπερ
in-my-prime but years having-become two and eighty therefore
χρὴ συγγνώμην ἔχειν, ἢν μαλακώτερος ὢν φαίνηται
it-is-necessary pardon to-have if softer being it-appears
τῶν παρ' ἐμοῦ πρότερον ἐκδεδομένων. καὶ γὰρ οὐδὲ
than-the-ones by me earlier published and for not-even
ῥᾴδιος ἦν οὐδ' ἁπλοῦς, ἀλλὰ πολλὴν ἔχων πραγματείαν.
easy was-it nor simple but much having labor
ἔστι γὰρ τῶν γεγραμμένων ἔνια μὲν ἐν 10
are for of-the-things written some indeed in
δικαστηρίῳ πρέποντα ῥηθῆναι, τὰ δὲ πρὸς μὲν
court fitting to-be-spoken the-others but for indeed
τοὺς τοιούτους ἀγῶνας οὐχ ἁρμόττοντα, περὶ δὲ
the such contests not suited about but
φιλοσοφίας πεπαρρησιασμένα καὶ δεδηλωκότα τὴν δύναμιν
philosophy spoken-frankly and having-made-clear the power

αὐτῆς· ἔστι δέ τι καὶ τοιοῦτον ὃ τῶν νεωτέρων
its there-is and something also such which of-the younger
τοῖς ἐπὶ τὰ μαθήματα καὶ τὴν παιδείαν ὁρμῶσιν
to-the-ones to the studies and the education setting-out
ἀκούσασιν ἂν συνενέγκοι, πολλὰ δὲ καὶ τῶν ὑπ᾽ ἐμοῦ πάλαι
having-heard — would-benefit many and also of-the by me long-ago
γεγραμμένων ἐγκαταμεμιγμένα τοῖς νῦν λεγομένοις οὐκ
written mixed-in with-the-things now said not
ἀλόγως οὐδ᾽ ἀκαίρως, ἀλλὰ προσηκόντως τοῖς ὑποκειμένοις.
unreasonably nor inopportunely but fittingly to-the subjects
11 τοσοῦτον οὖν μῆκος λόγου συνιδεῖν, καὶ τοσαύτας ἰδέας καὶ
so-great then length of-speech to-survey and so-many forms and
τοσοῦτον ἀλλήλων ἀφεστώσας συναρμόσαι καὶ συναγαγεῖν,
so-much from-one-another standing-apart to-fit-together and to-bring-together
καὶ τὰς ἐπιφερομένας οἰκειῶσαι ταῖς προειρημέναις, καὶ
and the following to-adapt to-the preceding and
πάσας ποιῆσαι σφίσιν αὐταῖς ὁμολογουμένας, οὐ πάνυ μικρὸν
all to-make with-them- -selves agreeing not very small
ἦν ἔργον. ὅμως δ᾽ οὐκ ἀπέστην, καίπερ τηλικοῦτος ὤν. πρὶν
was task nevertheless but not I-desisted although so-old being before
αὐτὸν ἀπετέλεσα, μετὰ πολλῆς μὲν ἀληθείας εἰρημένον, τὰ
it I-finished with much indeed truth spoken the
δ᾽ ἄλλα τοιοῦτον οἷος ἂν εἶναι δόξη τοῖς ἀκροωμένοις.
but other-things such as — to-be it-may-seem to-the hearers
12 χρὴ δὲ τοὺς διεξιόντας αὐτὸν πρῶτον μὲν ὡς ὄντος
it-is-necessary and the-ones going-through it first indeed as being
μικτοῦ τοῦ λόγου καὶ πρὸς ἁπάσας τὰς ὑποθέσεις ταύτας
mixed the speech and for all the subjects these
γεγραμμένου ποιεῖσθαι τὴν ἀκρόασιν, ἔπειτα προσέχειν τὸν
written to-make the hearing then to-pay the
νοῦν ἔτι μᾶλλον τοῖς λέγεσθαι μέλλουσιν ἢ τοῖς
attention still more to-the-things to-be-said being-about than to-the-things

ἤδη προειρημένοις, πρὸς δὲ τούτοις μὴ ζητεῖν εὐθὺς
already said-before besides and these not to-seek at-once
ἐπελθόντας ὅλον αὐτὸν διελθεῖν, ἀλλὰ τοσοῦτον μέρος
having-come-upon whole it to-go-through but so-much part
ὅσον μὴ λυπήσει τοὺς παρόντας. ἐὰν γὰρ ἐμμείνητε
as not will-weary the-ones present if for you-abide
τούτοις, μᾶλλον δυνήσεσθε κατιδεῖν εἴ τι τυγχάνομεν
by-these more you-will-be-able to-see if something we-happen
λέγοντες ἄξιον ἡμῶν αὐτῶν.
saying worthy of-us ourselves
ἃ μὲν οὖν ἀναγκαῖον ἦν προειπεῖν, ταῦτ' ἐστίν· ἤδη δ' 13
what indeed then necessary it-was to-say-first these-things are now and
ἀναγιγνώσκετε τὴν ἀπολογίαν τὴν προσποιουμένην μὲν περὶ
read the defense the pretending indeed about
κρίσεως γεγράφθαι, βουλομένην δὲ περὶ ἐμοῦ δηλῶσαι τὴν
a-trial to-have-been-written wishing but about me to-make-clear the
ἀλήθειαν, καὶ τοὺς μὲν ἀγνοοῦντας εἰδέναι ποιῆσαι, τοὺς
truth and the-ones indeed being-ignorant to-know to-make the-ones
δὲ φθονοῦντας ἔτι μᾶλλον ὑπὸ τῆς νόσου ταύτης λυπεῖσθαι·
but envying still more by the disease this to-be-pained
μείζω γὰρ δίκην οὐκ ἂν δυναίμην λαβεῖν παρ' αὐτῶν.
greater for penalty not — I-could get from them
πάντων ἡγοῦμαι πονηροτάτους εἶναι καὶ μεγίστης ζημίας 14
of-all I-think most-wicked to-be and of-greatest penalty
ἀξίους, οἵτινες οἷς αὐτοὶ τυγχάνουσιν ὄντες ἔνοχοι,
worthy who of-what themselves happen being guilty
ταῦτα τῶν ἄλλων τολμῶσι κατηγορεῖν· ὅπερ Λυσίμαχος
these-things the others dare to-accuse which-very Lysimachus
πεποίηκεν. οὗτος γὰρ αὐτὸς συγγεγραμμένα λέγων περὶ
has-done this-man for himself composed-things speaking about
τῶν ἐμῶν συγγραμμάτων πλείω πεποίηται λόγον ἢ περὶ
the my compositions more has-made speech than about

τῶν ἄλλων ἁπάντων, ὅμοιον ἐργαζόμενος ὥσπερ ἂν εἴ
the others all like-thing doing as — if
τις ἱεροσυλίας ἕτερον διώκων αὐτὸς τὰ τῶν θεῶν
anyone of-temple-robbery another prosecuting himself the-things of-the gods
ἐν τοῖν χεροῖν ἔχων φανείη.
in the two-hands having should-appear
15 πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην οὕτως αὐτὸν νομίζειν
before much and — I-would-have-made so him to-think
εἶναί με δεινόν, ὥσπερ ἐν ὑμῖν εἴρηκεν· οὐ γὰρ ἄν ποτέ
to-be me clever as before you he-has-said not for — ever
μοι πράγματα ποιεῖν ἐπεχείρησε. νῦν δὲ λέγει μὲν
me troubles to-make he-would-have-attempted now but he-says indeed
ὡς ἐγὼ τοὺς ἥττους λόγους κρείττους δύναμαι ποιεῖν,
that I the weaker arguments stronger am-able to-make
τοσοῦτον δέ μου καταπεφρόνηκεν, ὥστε αὐτὸς ψευδόμενος
so-much and me he-has-despised that himself lying
ἐμοῦ τἀληθῆ λέγοντος ἐλπίζει ῥᾳδίως ἐπικρατήσειν.
me the-truth saying he-hopes easily to-be-going-to-prevail
16 οὕτω δέ μοι δυσκόλως ἅπαντα συμβέβηκεν, ὥσθ' οἱ
so and to-me awkwardly all-things have-happened that the
μὲν ἄλλοι τοῖς λόγοις διαλύονται τὰς διαβολάς, ἐμοῦ δὲ
indeed others by-the speeches dissolve the slanders of-me but
Λυσίμαχος αὐτοὺς τοὺς λόγους μάλιστα διαβέβληκεν, ἵν' ἦν
Lysimachus themselves the speeches most has-slandered so-that if
μὲν ἱκανῶς δόξω λέγειν, ἔνοχος ὢν φανῶ τοῖς ὑπὸ
indeed sufficiently I-seem to-speak liable being I-shall-appear to-the-things by
τούτου περὶ τῆς δεινότητος τῆς ἐμῆς προειρημένοις, ἢν δ'
this-man about the cleverness the my said-before if but
ἐνδεέστερον τύχω διαλεχθεὶς ὧν οὗτος ὑμᾶς προσδοκᾶν
more-deficiently I-happen having-discoursed than-what this-man you to-expect
πεποίηκε, τὰς πράξεις ἡγῆσθέ μου χείρους εἶναι.
has-made the actions you-will-think my worse to-be

δέομαι οὖν ὑμῶν μήτε πιστεύειν πω μήτ᾽ ἀπιστεῖν τοῖς 17
I-beg then you neither to-believe yet nor to-disbelieve the
εἰρημένοις, πρὶν ἂν διὰ τέλους ἀκούσητε καὶ τὰ παρ᾽
things-said before — through end you-hear and the-things from
ἡμῶν, ἐνθυμουμένους ὅτι οὐδὲν ἂν ἔδει δίδοσθαι
us considering that nothing — it-would-be-necessary to-be-given
τοῖς φεύγουσιν ἀπολογίαν, εἴπερ οἷόν τ᾽ ἦν ἐκ τῶν
to-the defendants defense if-indeed possible — it-were from the
τοῦ διώκοντος λόγων ἐψηφίσθαι τὰ δίκαια. νῦν δ᾽ εἰ
of-the prosecutor speeches to-have-voted the just-things now but whether
μὲν εὖ τυγχάνει κατηγορηκὼς ἢ κακῶς, οὐδεὶς ἂν τῶν
indeed well he-happens having-accused or badly no-one — of-the-ones
παρόντων ἀγνοήσειεν· εἰ δ᾽ ἀληθέσι κέχρηται τοῖς
present would-fail-to-know whether but true he-has-used the
λόγοις, οὐκέτι τοῦτο τοῖς κρίνουσι γνῶναι ῥᾴδιον ἐξ ὧν
speeches no-longer this for-the judges to-know easy from what
ὁ πρότερος εἴρηκεν, ἀλλ᾽ ἀγαπητὸν ἦν ἐξ ἀμφοτέρων
the first-speaker has-said but satisfactory if from both
τῶν λόγων ἐκλαβεῖν δυνηθῶσι τὸ δίκαιον.
the speeches to-pick-out they-be-able the just
οὐ θαυμάζω δὲ τῶν πλείω χρόνον διατριβόντων ἐπὶ 18
not I-wonder and at-the-ones more time spending on
ταῖς τῶν ἐξαπατώντων κατηγορίαις ἢ ταῖς ὑπὲρ αὑτῶν
the of-the deceivers accusations than on-the for themselves
ἀπολογίαις, οὐδὲ τῶν λεγόντων ὡς ἔστι μέγιστον
defenses nor at-the-ones saying that it-is greatest
κακὸν διαβολή· τί γὰρ ἂν γένοιτο ταύτης κακουργότερον,
evil slander what for — could-be than-this more-mischievous
ἢ ποιεῖ τοὺς μὲν ψευδομένους εὐδοκιμεῖν, τοὺς δὲ
which makes the-ones indeed lying to-be-well-thought-of the-ones but
μηδὲν ἡμαρτηκότας δοκεῖν ἀδικεῖν, τοὺς δὲ δικάζοντας
nothing having-erred to-seem to-do-wrong the-ones but judging

ἐπιορκεῖν, ὅλως δὲ τὴν μὲν ἀλήθειαν ἀφανίζει, ψευδῆ
to-perjure-themselves in-general and the indeed truth it-obliterates false
δὲ δόξαν παραστήσασα τοῖς ἀκούουσιν ὃν ἂν τύχῃ
but opinion having-produced in-the hearers whomever — it-chances
τῶν πολιτῶν ἀδίκως ἀπόλλυσιν;
of-the citizens unjustly it-destroys

19 ἃ φυλακτέον ἐστίν, ὅπως μηδὲν ὑμῖν συμβήσεται
which must-be-guarded-against is that nothing to-you will-happen
τοιοῦτον, μηδ' ἃ τοῖς ἄλλοις ἂν ἐπιτιμήσαιτε τούτοις αὐτοὶ
such nor what the others — you-would-censure in-these yourselves
φανήσεσθε περιπίπτοντες. οἶμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι
you-will-appear falling I-think and you not to-be-ignorant that
τῇ πόλει πολλάκις οὕτως ἤδη μετεμέλησε τῶν κρίσεων
the city often so already has-repented of-the judgments
τῶν μετ' ὀργῆς καὶ μὴ μετ' ἐλέγχου γενομένων, ὥστ' οὐ
the with anger and not with examination having-been-made that not
πολὺν χρόνον διαλιποῦσα παρὰ μὲν τῶν ἐξαπατησάντων
much time having-let-pass from indeed the deceivers
δίκην λαβεῖν ἐπεθύμησε, τοὺς δὲ διαβληθέντας ἡδέως ἂν
penalty to-exact it-desired the but slandered gladly —
εἶδεν ἄμεινον ἢ πρότερον πράττοντας.
it-would-have-seen better than before faring

20 ὧν χρὴ μεμνημένους μὴ προπετῶς πιστεύειν τοῖς τῶν
which it-is-necessary remembering not rashly to-believe the of-the
κατηγόρων λόγοις, μηδὲ μετὰ θορύβου καὶ χαλεπότητος
accusers speeches nor with uproar and harshness
ἀκροᾶσθαι τῶν ἀπολογουμένων. καὶ γὰρ αἰσχρὸν ἐπὶ
to-hear the-ones defending-themselves and for shameful in
μὲν τῶν ἄλλων πραγμάτων ἐλεημονεστάτους ὁμολογεῖσθαι
indeed the other affairs most-merciful to-be-agreed
καὶ πραοτάτους ἁπάντων εἶναι τῶν Ἑλλήνων, ἐπὶ δὲ
and gentlest of-all to-be of-the Greeks in but

τοῖς ἀγῶσι τοῖς ἐνθάδε γιγνομένοις τἀναντία τῇ δόξῃ
the contests the here taking-place the-opposite to-the reputation
ταύτῃ φαίνεσθαι πράττοντας·
this to-appear doing

II · THE CHARGE AND HIS LIFE

Elsewhere, in a trial for a man's life, part of the votes is assigned to the defendant, but at Athens he does not even get an equal hearing: the accusers are believed and the defendants hardly heard, though every man who is himself in danger condemns slanderers. Lysimachus counted on that when he brought Isocrates into this danger, hoping to make money of the trial, for Isocrates has lived so blamelessly that no one under oligarchy or democracy ever charged him with outrage or injustice. The indictment says that he corrupts the young by teaching them to speak and to win in the courts against justice, and the rest of the accuser's speech magnifies his wealth and his pupils. He answers that the present trial is proof that no citizen was harmed by his writings, since none has come forward. No one has seen him in the courts or the arbitrations; his income came from foreign pupils, and no one could believe that Nicocles paid him to learn to plead in court. Many write court speeches, but none of them was ever thought worthy of pupils.

καὶ παρ' ἑτέροις μὲν ἐπειδὰν περὶ ψυχῆς ἀνθρώπου 21
and among others indeed whenever about life of-a-man
δικάζωσι, μέρος τι τῶν ψήφων ὑποβάλλεσθαι τοῖς
they-judge part some of-the votes to-be-assigned to-the
φεύγουσι, παρ' ὑμῖν δὲ μηδὲ τῶν ἴσων τυγχάνειν τοὺς
defendants among you but not-even of-the equal-things to-obtain the-ones
κινδυνεύοντας τοῖς συκοφαντοῦσιν, ἀλλ' ὀμνύναι μὲν
being-in-danger with-the-ones playing-the-sycophant but to-swear indeed
καθ' ἕκαστον τὸν ἐνιαυτὸν ἢ μὴν ὁμοίως ἀκροάσεσθαι
for each the year truly indeed equally to-be-going-to-hear
τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων,
the-ones accusing and the-ones defending-themselves

22 τοσοῦτον δὲ τὸ μεταξὺ ποιεῖν, ὥστε τῶν μὲν αἰτιωμένων
so-great and the difference to-make that of-the indeed accusers
ὅ τι ἂν λέγωσιν ἀποδέχεσθαι, τῶν δὲ τούτους ἐξελέγχειν
what ever — they-say to-accept of-the but these to-refute
πειρωμένων ἐνίοτε μηδὲ τὴν φωνὴν ἀκούοντας ἀνέχεσθαι,
trying sometimes not-even the voice hearing to-endure
καὶ νομίζειν μὲν ἀοικήτους εἶναι ταύτας τῶν πόλεων
and to-think indeed uninhabitable to-be these of-the cities
ἐν αἷς ἄκριτοί τινες ἀπόλλυνται τῶν πολιτῶν, ἀγνοεῖν
in which untried some perish of-the citizens to-be-ignorant
δ' ὅτι τοῦτο ποιοῦσιν οἱ μὴ κοινὴν τὴν εὔνοιαν τοῖς
but that this do the-ones not common the goodwill to-the
ἀγωνιζομένοις παρέχοντες.
contestants offering

23 ὃ δὲ πάντων δεινότατον, ὅταν τις αὐτὸς μὲν κινδυνεύων
what and of-all most-terrible whenever anyone himself indeed being-in-danger
κατηγορῇ τῶν διαβαλλόντων, ἑτέρῳ δὲ δικάζων μὴ τὴν
accuses the slanderers for-another but judging not the
αὐτὴν ἔχῃ γνώμην περὶ αὐτῶν. καίτοι χρὴ τοὺς
same has opinion about them and-yet it-is-necessary the-ones
νοῦν ἔχοντας τοιούτους εἶναι κριτὰς τοῖς ἄλλοις, οἵων
sense having such to-be judges for-the others such-as
περ ἂν αὐτοὶ τυγχάνειν ἀξιώσαιεν, λογιζομένους ὅτι
very — themselves to-obtain they-would-think-fit reckoning that
διὰ τοὺς συκοφαντεῖν τολμῶντας ἄδηλον ὅστις εἰς
because-of the-ones to-play-the-sycophant daring unclear whoever into
κίνδυνον καταστὰς ἀναγκασθήσεται λέγειν ἅπερ ἐγὼ νῦν
danger having-come will-be-compelled to-say what-very I now
πρὸς τοὺς μέλλοντας περὶ αὐτοῦ τὴν ψῆφον διοίσειν.
to the-ones going-to about him the vote to-cast

οὐ γὰρ δὴ τῷ γε κοσμίως ζῆν ἄξιον πιστεύειν ὡς 24
not for surely in-the at-least orderly to-live worthy to-trust that
ἀδεῶς ἐξέσται τὴν πόλιν οἰκεῖν· οἱ γὰρ προῃρημένοι
without-fear it-will-be-possible the city to-inhabit the-ones for having-chosen
τῶν μὲν ἰδίων ἀμελεῖν τοῖς δ' ἀλλοτρίοις ἐπιβουλεύειν
the indeed own-things to-neglect against-the but others' to-plot
οὐ τῶν μὲν σωφρόνως πολιτευομένων ἀπέχονται, τοὺς
not from-the-ones indeed temperately acting-as-citizens keep-away the-ones
δὲ κακόν τι δρῶντας εἰς ὑμᾶς εἰσάγουσιν, ἀλλ' ἐν τοῖς
but evil something doing to you bring-in but in the-ones
μηδὲν ἀδικοῦσιν ἐπιδειξάμενοι τὰς αὑτῶν δυνάμεις παρὰ
nothing wronging having-displayed the their powers from
τῶν φανερῶς ἐξημαρτηκότων πλέον λαμβάνουσιν ἀργύριον.
the-ones openly having-erred more get money
ἅπερ Λυσίμαχος διανοηθεὶς εἰς τουτονὶ τὸν κίνδυνόν 25
which-very Lysimachus having-considered into this-here the danger
με κατέστησεν, ἡγούμενος τὸν ἀγῶνα τὸν πρὸς ἐμὲ παρ'
me put thinking the contest the against me from
ἑτέρων αὑτῷ χρηματισμὸν ποιήσειν, καὶ προσδοκῶν,
others for-himself money-making to-be-going-to-make and expecting
ἢν ἐμοῦ περιγένηται τοῖς λόγοις, ὅν φησι διδάσκαλον
if me he-overcomes in-the speeches whom he-says teacher
εἶναι τῶν ἄλλων, ἀνυπόστατον τὴν αὑτοῦ δύναμιν ἅπασιν
to-be of-the others irresistible the his-own power to-all
εἶναι δόξειν.
to-be to-be-going-to-seem
ἐλπίζει δὲ ῥᾳδίως τοῦτο ποιήσειν· ὁρᾷ γὰρ ὑμᾶς μὲν 26
he-hopes and easily this to-be-going-to-do he-sees for you indeed
λίαν ταχέως ἀποδεχομένους τὰς αἰτίας καὶ τὰς διαβολάς,
too quickly accepting the charges and the slanders
ἐμὲ δ' ὑπὲρ αὐτῶν οὐ δυνησόμενον ἀξίως τῆς δόξης
me but for them not going-to-be-able worthily of-the reputation

ἀπολογήσασθαι καὶ διὰ τὸ γῆρας καὶ διὰ τὴν
to-defend-myself both because-of the old-age and because-of the
ἀπειρίαν τῶν τοιούτων ἀγώνων.
inexperience of-the such contests
27 οὕτω γὰρ βεβίωκα τὸν παρελθόντα χρόνον, ὥστε μηδένα
so for I-have-lived the past time that no-one
μοι πώποτε μήτ' ἐν ὀλιγαρχίᾳ μήτ' ἐν δημοκρατίᾳ μήθ'
me ever either in oligarchy or in democracy either
ὕβριν μήτ' ἀδικίαν ἐγκαλέσαι, μηδ' εἶναι μήτε διαιτητὴν
outrage or injustice to-charge nor to-be either arbitrator
μήτε δικαστὴν ὅστις περὶ τῶν ἐμοὶ πεπραγμένων
or juror who about the-things by-me done
φανήσεται κριτὴς γεγενημένος· ἠπιστάμην γὰρ αὐτὸς
will-appear judge having-been I-knew-how for myself
μὲν εἰς τοὺς ἄλλους μηδὲν ἐξαμαρτάνειν, ἀδικούμενος
indeed toward the others in-nothing to-err being-wronged
δὲ μὴ μετὰ δικαστηρίου ποιεῖσθαι τὰς τιμωρίας, ἀλλ'
but not with court to-make the redress but
ἐν τοῖς φίλοις τοῖς ἐκείνων διαλύεσθαι περὶ τῶν
among the friends the of-them to-settle about the-things
ἀμφισβητουμένων. ὧν οὐδέν μοι πλέον γέγονεν,
disputed from-which nothing to-me more has-come
28 ἀλλ' ἀνεγκλητεὶ μέχρι ταυτησὶ τῆς ἡλικίας βεβιωκὼς εἰς τὸν
but blamelessly up-to this-here the age having-lived into the
αὐτὸν καθέστηκα κίνδυνον, εἰς ὅνπερ ἂν εἰ πάντας ἐτύγχανον
same I-have-come danger into which-very — if all I-happened
ἠδικηκώς. οὐ μὴν παντάπασιν ἀθυμῶ διὰ τὸ
having-wronged not however altogether I-am-disheartened because-of the
μέγεθος τοῦ τιμήματος, ἀλλ' ἐάν περ ἐθελήσητε μετ' εὐνοίας
size of-the assessment but if very you-be-willing with goodwill
ἀκροάσασθαι, πολλὰς ἐλπίδας ἔχω τοὺς μὲν διεψευσμένους
to-hear many hopes I-have the-ones indeed mistaken

τῶν ἐμῶν ἐπιτηδευμάτων καὶ πεπεισμένους ὑπὸ τῶν
about-the my occupations and persuaded by the-ones
βουλομένων βλασφημεῖν ταχέως μεταπεισθήσεσθαι
wishing to-slander quickly to-be-going-to-be-persuaded-otherwise
περὶ αὐτῶν, τοὺς δὲ τοιοῦτον εἶναί με νομίζοντας οἷός
about them the-ones but such to-be me thinking as
περ εἰμί, βεβαιότερον ἔτι ταύτην ἕξειν τὴν διάνοιαν.
very I-am more-firmly still this to-be-going-to-hold the opinion
ἵνα δὲ μὴ λίαν ἐνοχλῶ πολλὰ πρὸ τοῦ πράγματος 29
so-that but not too I-may-be-troublesome many-things before the matter
λέγων, ἀφέμενος τούτων, περὶ ὧν οἴσετε τὴν ψῆφον, ἤδη
saying having-let-go these about what you-will-cast the vote now
πειράσομαι διδάσκειν ὑμᾶς. καί μοι ἀνάγνωθι τὴν γραφήν.
I-shall-try to-teach you and for-me read the indictment
ἐκ μὲν τοίνυν τῆς γραφῆς πειρᾶταί με διαβάλλειν ὁ 30
from indeed then the indictment he-tries me to-slander the
κατήγορος ὡς διαφθείρω τοὺς νεωτέρους λέγειν διδάσκων
accuser that I-corrupt the younger to-speak teaching
καὶ παρὰ τὸ δίκαιον ἐν τοῖς ἀγῶσι πλεονεκτεῖν, ἐκ δὲ
and contrary-to the just in the contests to-get-the-better from but
τῶν ἄλλων λόγων ποιεῖ με τηλικοῦτον, ὅσος οὐδεὶς πώποτε
the other speeches he-makes me so-great as no-one ever
γέγονεν οὔτε τῶν περὶ τὰ δικαστήρια καλινδουμένων
has-been either of-the-ones about the courts rolling
οὔτε τῶν περὶ τὴν φιλοσοφίαν διατριψάντων· οὐ γὰρ
or of-the-ones about the philosophy having-spent-time not for
μόνον ἰδιώτας φησί μου γεγενῆσθαι μαθητάς, ἀλλὰ καὶ
only private-men he-says of-me to-have-been pupils but also
ῥήτορας καὶ στρατηγοὺς καὶ βασιλέας καὶ τυράννους, καὶ
orators and generals and kings and tyrants and

χρήματα παρ' αὐτῶν παμπληθῆ τὰ μὲν εἰληφέναι τὰ
money from them vast-sums the indeed to-have-received the
δ' ἔτι καὶ νῦν λαμβάνειν.
but still also now to-receive
31 τοῦτον δὲ τὸν τρόπον πεποίηται τὴν κατηγορίαν, ἡγούμενος
this and the way he-has-made the accusation thinking
ἐκ μὲν ὧν καταλαζονεύεται περί μου καὶ τοῦ πλούτου καὶ
from indeed what he-boasts about me and the wealth and
τοῦ πλήθους τῶν μαθητῶν φθόνον ἅπασι τοῖς ἀκούουσιν
the number of-the pupils envy in-all the hearers
ἐμποιήσειν, ἐκ δὲ τῆς περὶ τὰ δικαστήρια πραγματείας
to-be-going-to-produce from and the about the courts business
εἰς ὀργὴν καὶ μῖσος ὑμᾶς καταστήσειν· ἅπερ ὅταν
into anger and hatred you to-be-going-to-put which-very whenever
πάθωσιν οἱ κρίνοντες, χαλεπώτατοι τοῖς ἀγωνιζομένοις εἰσίν.
suffer the judges harshest to-the contestants are
ὡς οὖν τὰ μὲν μείζω τοῦ προσήκοντος εἴρηκε, τὰ
that then the-things indeed greater than-the fitting he-has-said the-things
δ' ὅλως ψεύδεται, ῥᾳδίως οἶμαι φανερὸν ποιήσειν.
but altogether he-lies easily I-think evident to-be-going-to-make
32 ἀξιῶ δ' ὑμᾶς τοῖς μὲν λόγοις οἷς πρότερον ἀκηκόατε
I-ask and you to-the indeed speeches which before you-have-heard
περί μου τῶν βλασφημεῖν καὶ διαβάλλειν βουλομένων,
about me of-the-ones to-slander and to-calumniate wishing
μὴ προσέχειν τὸν νοῦν, μηδὲ πιστεύειν τοῖς μήτε μετ'
not to-pay the attention nor to-believe the-things either with
ἐλέγχου μήτε μετὰ κρίσεως εἰρημένοις, μηδὲ ταῖς δόξαις
examination or with judgment said nor the opinions
χρῆσθαι ταῖς ἀδίκως ὑπ' ἐκείνων ὑμῖν ἐγγεγενημέναις,
to-use the unjustly by them in-you implanted
ἀλλ' ὁποῖός τις ἂν ἐκ τῆς κατηγορίας τῆς νῦν καὶ
but of-what-sort some — from the accusation the now and

τῆς ἀπολογίας φαίνωμαι, τοιοῦτον εἶναί με νομίζειν· οὕτω
the defense I-appear such to-be me to-think so
γὰρ γιγνώσκοντες αὐτοί τε δόξετε καλῶς κρίνειν καὶ
for judging yourselves both you-will-seem well to-judge and
νομίμως, ἐγώ τε τεύξομαι πάντων τῶν δικαίων.
lawfully I and shall-obtain all the just-things
ὅτι μὲν οὖν οὐδεὶς οὔθ' ὑπὸ τῆς δεινότητος τῆς ἐμῆς οὔθ' ὑπὸ 33
that indeed then no-one either by the cleverness the my or by
τῶν συγγραμμάτων βέβλαπται τῶν πολιτῶν, τὸν ἐνεστῶτα
the writings has-been-harmed of-the citizens the present
κίνδυνον ἡγοῦμαι μέγιστον εἶναι τεκμήριον. εἰ γάρ τις ἦν
danger I-think greatest to-be proof if for anyone was
ἠδικημένος, εἰ καὶ τὸν ἄλλον χρόνον ἡσυχίαν εἶχεν, οὐκ ἂν
wronged if even the other time quiet he-kept not —
ἠμέλησε τοῦ καιροῦ τοῦ παρόντος, ἀλλ' ἦλθεν
he-would-have-neglected the occasion the present but he-would-have-come
ἂν ἤτοι κατηγορήσων ἢ καταμαρτυρήσων. ὅπου γὰρ ὁ
— either going-to-accuse or going-to-bear-witness-against where for the-one
μηδ' ἀκηκοὼς μηδὲν πώποτε φλαῦρον εἰς ἀγῶνά με
not-even having-heard any ever ill-thing into contest me
τηλικουτονὶ κατέστησεν, ἦ που σφόδρ' ἂν οἱ κακῶς
so-great-here put surely somehow vehemently — the-ones badly
πεπονθότες ἐπειρῶντ' ἂν δίκην παρ' ἐμοῦ λαμβάνειν.
having-suffered would-try — penalty from me to-exact
οὐ γὰρ δὴ τοῦτό γ' ἐστὶν οὔτ' εἰκὸς οὔτε δυνατόν, ἐμὲ 34
not for surely this at-least is either likely or possible me
μὲν περὶ πολλοὺς ἡμαρτηκέναι, τοὺς δὲ ταῖς συμφοραῖς
indeed against many to-have-erred the-ones but in-the misfortunes
δι' ἐμὲ περιπεπτωκότας ἡσυχίαν ἔχειν καὶ μὴ τολμᾶν
because-of me having-fallen quiet to-keep and not to-dare
ἐγκαλεῖν, ἀλλὰ πραοτέρους ἐν τοῖς ἐμοῖς εἶναι κινδύνοις
to-accuse but milder in the my to-be dangers

τῶν μηδὲν ἠδικημένων, ἐξὸν αὐτοῖς δηλώσασιν
than-the-ones in-nothing wronged it-being-possible for-them having-made-clear
ἃ πεπόνθασι τὴν μεγίστην παρ᾽ ἐμοῦ λαβεῖν τιμωρίαν.
what they-have-suffered the greatest from me to-exact vengeance
35 ἀλλὰ γὰρ οὔτε πρότερον οὔτε νῦν οὐδείς μοι φανήσεται
but for neither before nor now anyone me will-appear
τοιοῦτον οὐδὲν ἐγκαλέσας. ὥστ᾽ εἰ συγχωρήσαιμι τῷ
such any having-charged so-that if I-should-concede to-the
κατηγόρῳ καὶ προσομολογήσαιμι πάντων ἀνθρώπων εἶναι
accuser and should-agree-further of-all men to-be
δεινότατος, καὶ συγγραφεὺς τῶν λόγων τῶν λυπούντων
cleverest and writer of-the speeches the paining
ὑμᾶς τοιοῦτος οἷος οὐδεὶς ἄλλος γέγονε, πολὺ ἂν
you such as no-one other has-been much —
δικαιότερον ἐπιεικὴς εἶναι δοκοίην ἢ ζημιωθείην.
more-justly decent to-be I-would-seem than be-punished
36 τοῦ μὲν γὰρ γενέσθαι προέχοντα τῶν ἄλλων ἢ περὶ
of-the indeed for to-have-become excelling the others either about
τοὺς λόγους ἢ περὶ τὰς πράξεις εἰκότως ἄν τις τὴν τύχην
the speeches or about the actions reasonably — anyone the fortune
αἰτιάσαιτο, τοῦ δὲ καλῶς καὶ μετρίως κεχρῆσθαι τῇ φύσει
would-blame for-the but well and moderately to-have-used the nature
δικαίως ἂν ἅπαντες τὸν τρόπον τὸν ἐμὸν ἐπαινέσειαν. οὐ
justly — all the character the my would-praise not
μὴν οὐδ᾽ εἰ ταῦτ᾽ ἔχων περὶ ἐμαυτοῦ λέγειν, οὐδ᾽ οὕτω
however not-even if these-things having about myself to-say not-even so
φανήσομαι περὶ τοὺς λόγους τοὺς τοιούτους γεγενημένος.
I-shall-appear about the speeches the such having-been
37 γνώσεσθε δ᾽ ἐκ τῶν ἐπιτηδευμάτων τῶν ἐμῶν, ἐξ ὧνπερ
you-will-know and from the occupations the my from which-very
οἷόν τ᾽ ἐστὶν εἰδέναι τὴν ἀλήθειαν πολὺ μᾶλλον ἢ παρὰ
possible — it-is to-know the truth much rather than from

τῶν διαβαλλόντων. οἶμαι γὰρ οὐδένα τοῦτ' ἀγνοεῖν,
the slanderers I-think for no-one this to-be-ignorant-of
ὅτι πάντες ἄνθρωποι περὶ τὸν τόπον τοῦτον εἰώθασι
that all men about the place this are-accustomed
διατρίβειν, ὅθεν ἂν προέλωνται τὸν βίον πορίζεσθαι.
to-spend-time whence — they-choose the livelihood to-provide
τοὺς μὲν τοίνυν ἀπὸ τῶν συμβολαίων τῶν ὑμετέρων ζῶντας 38
the-ones indeed then from the contracts the your living
καὶ τῆς περὶ ταῦτα πραγματείας ἴδοιτ' ἂν μόνον οὐκ ἐν
and the about these business you-would-see — only not in
τοῖς δικαστηρίοις οἰκοῦντας, ἐμὲ δ' οὐδεὶς πώποθ' ἑώρακεν
the courts dwelling me but no-one ever has-seen
οὔτ' ἐν τοῖς συνεδρίοις οὔτε περὶ τὰς ἀνακρίσεις οὔτ' ἐπὶ
either in the council-meetings or at the preliminary-hearings or at
τοῖς δικαστηρίοις οὔτε πρὸς τοῖς διαιτηταῖς, ἀλλ' οὕτως
the courts or before the arbitrators but so
ἀπέχομαι τούτων ἁπάντων ὡς οὐδεὶς ἄλλος τῶν πολιτῶν.
I-keep-away-from these all as no-one other of-the citizens
ἔπειτ' ἐκείνους μὲν ἂν εὕροιτε παρ' ὑμῖν μόνοις 39
then those indeed — you-would-find among you alone
χρηματίζεσθαι δυναμένους, εἰ δ' ἄλλοσέ ποι πλεύσειαν,
to-make-money able if but elsewhere somewhere they-should-sail
ἐνδεεῖς ἂν ὄντας τῶν καθ' ἡμέραν, ἐμοὶ δὲ τὰς εὐπορίας, περὶ
lacking — being of-the by day to-me but the resources about
ὧν οὗτος μειζόνως εἴρηκεν, ἔξωθεν ἁπάσας γεγενημένας·
which this-man more-grandly has-spoken from-abroad all having-come
ἔτι δὲ τοῖς μὲν πλησιάζοντας ἢ τοὺς ἐν κακοῖς αὐτοὺς
further and to-them indeed resorting either the-ones in troubles themselves
ὄντας ἢ τοὺς ἑτέροις πράγματα παρέχειν βουλομένους,
being or the-ones for-others troubles to-make wishing
ἐμοὶ δὲ τοὺς πλείστην σχολὴν τῶν Ἑλλήνων ἄγοντας.
to-me but the-ones most leisure of-the Greeks having

40 ἠκούσατε δὲ καὶ τοῦ κατηγόρου λέγοντος ὅτι παρὰ
you-heard and also the accuser saying that from
Νικοκλέους τοῦ Σαλαμινίων βασιλέως πολλὰς ἔλαβον καὶ
Nicocles the of-the-Salaminians king many I-received and
μεγάλας δωρεάς. καίτοι τίνι πιστὸν ὑμῶν ἐστιν ὡς
great gifts and-yet to-whom credible of-you is-it that
Νικοκλῆς ἔδωκέ μοι ταύτας, ἵνα δίκας μανθάνῃ λέγειν,
Nicocles gave me these so-that lawsuits he-might-learn to-speak
ὃς καὶ τοῖς ἄλλοις περὶ τῶν ἀμφισβητουμένων ὥσπερ
who also for-the others about the-things disputed as
δεσπότης ἐδίκαζεν; ὥστ' ἐξ ὧν αὐτὸς οὗτος εἴρηκε,
master judged so-that from what himself this-man has-said
ῥᾴδιον καταμαθεῖν ὅτι πόρρω τῶν πραγματειῶν εἰμι
easy to-perceive that far from-the businesses I-am
τῶν περὶ τὰ συμβόλαια γιγνομένων.
the about the contracts arising

41 ἀλλὰ μὴν κἀκεῖνο πᾶσι φανερόν ἐστιν ὅτι παμπληθεῖς
but truly that-too to-all evident is that very-many
εἰσιν οἱ παρασκευάζοντες τοὺς λόγους τοῖς ἐν τοῖς
are the-ones preparing the speeches for-the-ones in the
δικαστηρίοις ἀγωνιζομένοις. τούτων μὲν τοίνυν τοσούτων
courts contending of-these indeed then so-many
ὄντων οὐδεὶς πώποτε φανήσεται μαθητῶν ἠξιωμένος,
being no-one ever will-appear of-pupils having-been-thought-worthy
ἐγὼ δὲ πλείους εἰληφώς, ὥς φησιν ὁ κατήγορος, ἢ
I but more having-got as says the accuser than
σύμπαντες οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες. καίτοι
all-together the-ones about the philosophy spending-time and-yet
πῶς εἰκὸς τοὺς τοσοῦτον τοῖς ἐπιτηδεύμασιν ἀλλήλων
how likely the-ones so-much in-the occupations from-one-another
ἀφεστῶτας περὶ τὰς αὐτὰς πράξεις ἡγεῖσθαι διατρίβειν;
standing-apart about the same actions to-think to-spend-time

ἔχων δὲ πολλὰς εἰπεῖν διαφορὰς περὶ τοῦ βίου τοῦ τ' 42
having and many to-tell differences about the life the both
ἐμοῦ καὶ τῶν περὶ τὰς δίκας, ἐκείνως ὑμᾶς ἡγοῦμαι
my and of-the-ones about the lawsuits in-that-way you I-think
τάχιστ' ἂν ἀφέσθαι τῆς δόξης ταύτης, εἴ τις ὑμῖν
most-quickly — to-let-go the opinion this if anyone to-you
ἐπιδείξειε μὴ τούτων τῶν πραγμάτων μαθητάς μου
should-show not of-these the affairs pupils my
γιγνομένους ὧν ὁ κατήγορος εἴρηκε, μηδὲ περὶ τοὺς
becoming of-which the accuser has-spoken nor about the
λόγους ὄντα με δεινὸν τοὺς περὶ τῶν ἰδίων συμβολαίων.
speeches being me clever the-ones about the private contracts

III · HIS DISCOURSES AND THE PANEGYRICUS

Refuted on the charge, the jurors will want to hear what speeches he has written. Prose has as many kinds as verse, he explains: some write genealogies of the demigods, some comment on the poets, some compile histories, and others compose speeches on Greek affairs fit for the great festivals, in a style more poetic and varied, whose authors are admired the more they are heard. He asks not only for no pardon if he uses his speeches harmfully, but for the heaviest penalty if they are not such as no other man's are. Since he is tried on his writings, he will show them to the jurors so that they may judge with knowledge, and he begins with the Panegyricus, written when Sparta ruled Greece and Athens fared humbly, which shows the city the cause of every good of the Greeks; age stops him from reading all of it. The jurors may judge whether such a speech corrupts. He then turns to the speech On the Peace, which denounces the empire of the sea and urges an end to the war.

οἶμαι γὰρ ὑμᾶς, ἐξελεγχομένης τῆς αἰτίας ἧς εἶχον 43
I-think for you being-refuted the charge which I-had
πρότερον, ζητεῖν ἑτέραν μεταλαβεῖν διάνοιαν, καὶ ποθεῖν
before to-seek another to-take-instead opinion and to-long

ἀκοῦσαι περὶ ποίους ἄλλους λόγους γεγενημένος τηλικαύτην
to-hear about what-sort-of other speeches having-been such
δόξαν ἔλαβον. εἰ μὲν οὖν μοι συνοίσει κατειπόντι τὴν
reputation I-got whether indeed then me it-will-benefit having-told the
ἀλήθειαν, οὐκ οἶδα· χαλεπὸν γὰρ στοχάζεσθαι τῆς ὑμετέρας
truth not I-know hard for to-guess of-the your
διανοίας· οὐ μὴν ἀλλὰ παρρησιάσομαί γε πρὸς ὑμᾶς.
mind not however but I-shall-speak-freely at-least to you
44 καὶ γὰρ ἂν αἰσχυνθείην τοὺς πλησιάσαντας, εἰ πολλάκις
and for — I-should-feel-shame-before the-ones having-associated if often
εἰρηκὼς ὅτι δεξαίμην ἂν ἅπαντας εἰδέναι τοὺς πολίτας
having-said that I-would-welcome — all to-know the citizens
καὶ τὸν βίον ὃν ζῶ καὶ τοὺς λόγους οὓς λέγω, νῦν μὴ
both the life which I-live and the speeches which I-make now not
δηλοίην ὑμῖν αὐτοὺς ἀλλ᾽ ἀποκρυπτόμενος φανείην. ὡς
I-should-show to-you them but concealing I-should-appear as
οὖν ἀκουσόμενοι τὴν ἀλήθειαν, οὕτω προσέχετε τὸν νοῦν.
then going-to-hear the truth so pay the attention
45 πρῶτον μὲν οὖν ἐκεῖνο δεῖ μαθεῖν ὑμᾶς, ὅτι τρόποι τῶν
first indeed then that it-is-necessary to-learn you that modes of-the
λόγων εἰσὶν οὐκ ἐλάττους ἢ τῶν μετὰ μέτρου ποιημάτων.
prose are not fewer than of-the with meter poems
οἱ μὲν γὰρ τὰ γένη τὰ τῶν ἡμιθέων ἀναζητοῦντες τὸν
the-ones indeed for the families the of-the demigods searching-out the
βίον τὸν αὑτῶν κατέτριψαν, οἱ δὲ περὶ τοὺς ποιητὰς
life the their-own wore-away the-ones but about the poets
ἐφιλοσόφησαν, ἕτεροι δὲ τὰς πράξεις τὰς ἐν τοῖς πολέμοις
philosophized others and the deeds the in the wars
συναγαγεῖν ἐβουλήθησαν, ἄλλοι δέ τινες περὶ τὰς ἐρωτήσεις
to-collect wished others and some about the questions
καὶ τὰς ἀποκρίσεις γεγόνασιν, οὓς ἀντιλογικοὺς καλοῦσιν.
and the answers have-been whom disputers they-call

εἴη δ' ἂν οὐ μικρὸν ἔργον, εἰ πάσας τις τὰς ἰδέας 46
it-would-be and — not small task if all anyone the forms
τὰς τῶν λόγων ἐξαριθμεῖν ἐπιχειρήσειεν· ἧς δ' οὖν ἐμοὶ
the of-the speeches to-enumerate should-attempt of-which but anyway to-me
προσήκει, ταύτης μνησθεὶς ἐάσω τὰς ἄλλας. εἰσὶ γάρ
it-belongs this having-mentioned I-shall-let-be the others there-are for
τινες οἳ τῶν μὲν προειρημένων οὐκ ἀπείρως ἔχουσι, γράφειν
some who of-the indeed before-mentioned not inexperienced are to-write
δὲ προῄρηνται λόγους οὐ περὶ τῶν ἰδίων συμβολαίων, ἀλλ'
but have-chosen speeches not about the private contracts but
Ἑλληνικοὺς καὶ πολιτικοὺς καὶ πανηγυρικούς, οὓς ἅπαντες
Hellenic and political and festival which all
ἂν φήσαιεν ὁμοιοτέρους εἶναι τοῖς μετὰ μουσικῆς καὶ
— would-say more-like to-be to-the-things with music and
ῥυθμῶν πεποιημένοις ἢ τοῖς ἐν δικαστηρίῳ λεγομένοις.
rhythms composed than to-the-things in court spoken
καὶ γὰρ τῇ λέξει ποιητικωτέρᾳ καὶ ποικιλωτέρᾳ τὰς 47
and for in-the style more-poetic and more-varied the
πράξεις δηλοῦσι, καὶ τοῖς ἐνθυμήμασιν ὀγκωδεστέροις καὶ
deeds they-set-forth and the reasonings more-weighty and
καινοτέροις χρῆσθαι ζητοῦσιν, ἔτι δὲ ταῖς ἄλλαις ἰδέαις
more-novel to-use they-seek further and the other figures
ἐπιφανεστέραις καὶ πλείοσιν ὅλον τὸν λόγον διοικοῦσιν.
more-brilliant and more-numerous whole the speech they-manage
ὧν ἅπαντες μὲν ἀκούοντες χαίρουσιν οὐδὲν ἧττον ἢ
which all indeed hearing rejoice in-nothing less than
τῶν ἐν τοῖς μέτροις πεποιημένων, πολλοὶ δὲ καὶ
at-the-things in the meters composed many and also
μαθηταὶ γίγνεσθαι βούλονται, νομίζοντες τοὺς ἐν τούτοις
pupils to-become wish thinking the-ones in these

πρωτεύοντας πολὺ σοφωτέρους καὶ βελτίους καὶ μᾶλλον
first much wiser and better and more
ὠφελεῖν δυναμένους εἶναι τῶν τὰς δίκας εὖ λεγόντων.
to-benefit able to-be than-the-ones the lawsuits well speaking
48 συνίσασι γὰρ τοῖς μὲν διὰ πολυπραγμοσύνην ἐμπείροις
they-know for the-ones indeed through meddlesomeness experienced
τῶν ἀγώνων γεγενημένοις, τοὺς δ' ἐκ φιλοσοφίας
of-the contests having-become the-others but from philosophy
ἐκείνων τῶν λόγων ὧν ἄρτι προεῖπον τὴν δύναμιν
of-those the speeches of-which just-now I-spoke-before the power
εἰληφότας, καὶ τοὺς μὲν δικανικοὺς δοκοῦντας εἶναι
having-got and the-ones indeed court-pleaders seeming to-be
ταύτην τὴν ἡμέραν μόνην ἀνεκτοὺς ὄντας ἐν ᾗ περ
this the day only tolerable being on which very
ἂν ἀγωνιζόμενοι τυγχάνωσι, τοὺς δ' ἐν ἁπάσαις ταῖς
— contending they-happen the-others but in all the
ὁμιλίαις καὶ παρὰ πάντα τὸν χρόνον ἐντίμους ὄντας καὶ
gatherings and through all the time honored being and
δόξης ἐπιεικοῦς τυγχάνοντας· ἔτι δὲ τοὺς μέν,
of-reputation fair obtaining further and the-ones indeed
49 ἢν ὀφθῶσι δὶς ἢ τρὶς ἐπὶ τῶν δικαστηρίων, μισουμένους
if they-be-seen twice or thrice at the courts hated
καὶ διαβαλλομένους, τοὺς δ' ὅσῳ περ ἂν πλείοσι καὶ
and slandered the-others but by-as-much very — with-more and
πλεονάκις συγγίγνωνται, τοσούτῳ μᾶλλον θαυμαζομένους·
more-often they-associate by-so-much more admired
πρὸς δὲ τούτοις τοὺς μὲν περὶ τὰς δίκας δεινοὺς πόρρω
besides and these the-ones indeed about the lawsuits clever far
τῶν λόγων ἐκείνων ὄντας, τοὺς δ' εἰ βουληθεῖεν
from-the speeches those being the-others but if they-should-wish
ταχέως ἂν ἐλεῖν καὶ τούτους δυνηθέντας.
quickly — to-master also these able

ταῦτα λογιζόμενοι καὶ πολὺ κρείττω νομίζοντες εἶναι 50
these-things reckoning and much better thinking to-be
τὴν αἵρεσιν, βούλονται μετασχεῖν τῆς παιδείας ταύτης,
the choice they-wish to-share of-the education this
ἧς οὐδ' ἂν ἐγὼ φανείην ἀπεληλαμένος, ἀλλὰ πολλῷ
from-which not-even — I would-appear excluded but much
χαριεστέραν δόξαν εἰληφώς. περὶ μὲν οὖν τῆς ἐμῆς εἴτε
more-gracious reputation having-got about indeed then the my whether
βούλεσθε καλεῖν δυνάμεως εἴτε φιλοσοφίας εἴτε διατριβῆς,
you-wish to-call power or philosophy or occupation
ἀκηκόατε πᾶσαν τὴν ἀλήθειαν.
you-have-heard all the truth
βούλομαι δὲ περὶ ἐμαυτοῦ καὶ νόμον θεῖναι χαλεπώτερον 51
I-wish and about myself both a-law to-lay-down harsher
ἢ περὶ τῶν ἄλλων, καὶ λόγον εἰπεῖν θρασύτερον ἢ
than about the others and a-word to-speak bolder than
κατὰ τὴν ἐμὴν ἡλικίαν. ἀξιῶ γὰρ οὐ μόνον, εἰ βλαβεροῖς
according-to the my age I-ask for not only if harmful
χρῶμαι τοῖς λόγοις, μηδεμιᾶς συγγνώμης τυγχάνειν παρ'
I-use the speeches no pardon to-obtain from
ὑμῶν, ἀλλ' εἰ μὴ τοιούτοις, οἵοις οὐδεὶς ἄλλος, τὴν
you but if not such as no-one other the
μεγίστην ὑποσχεῖν τιμωρίαν. οὐχ οὕτω δ' ἂν τολμηρὰν
greatest to-undergo penalty not so and — bold
ἐποιησάμην τὴν ὑπόσχεσιν, εἰ μὴ καὶ δείξειν ἤμελλον
I-would-have-made the undertaking if not both to-show I-was-going
ὑμῖν καὶ ῥᾳδίαν ποιήσειν τὴν διάγνωσιν αὐτῶν.
to-you and easy to-make the judgment of-them
ἔχει γὰρ οὕτως· ἐγὼ καλλίστην ἡγοῦμαι καὶ δικαιοτάτην 52
it-is for so I finest think and most-just
εἶναι τὴν τοιαύτην ἀπολογίαν, ἥτις εἰδέναι ποιεῖ τοὺς
to-be the such defense which to-know makes the

δικάζοντας ὡς δυνατὸν μάλιστα, περὶ ὧν τὴν ψῆφον
judges as possible most about which the vote
οἴσουσι, καὶ μὴ πλανᾶσθαι τῇ διανοίᾳ μηδ' ἀμφιγνοεῖν
they-will-cast and not to-wander in-the mind nor to-be-in-doubt-about
τοὺς τἀληθῆ λέγοντας.
the-ones the-truth speaking

53 εἰ μὲν τοίνυν ἠγωνιζόμην ὡς περὶ πράξεις τινὰς
if indeed then I-were-contending as about deeds some
ἡμαρτηκώς, οὐκ ἂν οἷός τ' ἦν ἰδεῖν ὑμῖν αὐτὰς
having-erred not — able — I-was to-see to-you them
παρασχεῖν, ἀλλ' ἀναγκαίως εἶχεν εἰκάζοντας ὑμᾶς ἐκ
to-offer but necessarily it-was conjecturing you from
τῶν εἰρημένων διαγιγνώσκειν ὅπως ἐτύχετε περὶ τῶν
the things-said to-decide how you-happened about the
πεπραγμένων· ἐπειδὴ δὲ περὶ τοὺς λόγους ἔχω τὴν αἰτίαν,
things-done since but about the speeches I-have the charge
οἶμαι μᾶλλον ὑμῖν ἐμφανιεῖν τὴν ἀλήθειαν.
I-think more to-you to-be-going-to-make-clear the truth

54 αὐτοὺς γὰρ ὑμῖν δείξω τοὺς εἰρημένους ὑπ' ἐμοῦ καὶ
themselves for to-you I-shall-show the-ones spoken by me and
γεγραμμένους, ὥστ' οὐ δοξάσαντες ἀλλὰ σαφῶς εἰδότες
written so-that not having-supposed but clearly knowing
ὁποῖοί τινές εἰσι τὴν ψῆφον οἴσετε περὶ αὐτῶν.
of-what-sort some they-are the vote you-will-cast about them
ἅπαντας μὲν οὖν διὰ τέλους εἰπεῖν οὐκ ἂν δυναίμην· ὁ
all indeed then through end to-recite not — I-could the
γὰρ χρόνος ὁ δεδομένος ἡμῖν ὀλίγος ἐστίν· ὥσπερ δὲ τῶν
for time the given to-us little is as and of-the
καρπῶν, ἐξενεγκεῖν ἑκάστου δεῖγμα πειράσομαι. μικρὸν γὰρ
fruits to-bring-out of-each a-sample I-shall-try small for

μέρος ἀκούσαντες ῥᾳδίως τό τ᾽ ἐμὸν ἦθος γνωριεῖτε
part having-heard easily the both my character you-will-recognize
καὶ τῶν λόγων τὴν δύναμιν ἁπάντων μαθήσεσθε.
and of-the speeches the power of-all you-will-learn
δέομαι δὲ τῶν πολλάκις ἀνεγνωκότων τὰ μέλλοντα 55
I-ask and the-ones often having-read the-things going
ῥηθήσεσθαι μὴ ζητεῖν ἐν τῷ παρόντι παρ᾽ ἐμοῦ καινοὺς
to-be-spoken not to-seek in the present from me new
λόγους, μηδ᾽ ὀχληρόν με νομίζειν, ὅτι λέγω τοὺς πάλαι
speeches nor tiresome me to-think that I-speak the-ones long-ago
παρ᾽ ὑμῖν διατεθρυλημένους. εἰ μὲν γὰρ ἐπίδειξιν ποιούμενος
among you talked-over if indeed for display making
ἔλεγον αὐτούς, εἰκότως ἂν εἶχον τὴν αἰτίαν ταύτην·
I-were-reciting them reasonably — I-would-have the charge this
νῦν δὲ κρινόμενος καὶ κινδυνεύων ἀναγκάζομαι χρῆσθαι
now but being-tried and being-in-danger I-am-compelled to-use
τοῦτον τὸν τρόπον αὐτοῖς.
this the way them
καὶ γὰρ ἂν πάντων εἴην καταγελαστότατος, εἰ τοῦ 56
and for — of-all I-would-be most-ridiculous if the
κατηγόρου διαβάλλοντος ὅτι τοιούτους γράφω λόγους οἳ
accuser slandering that such I-write speeches which
καὶ τὴν πόλιν βλάπτουσι καὶ τοὺς νεωτέρους διαφθείρουσι,
both the city harm and the younger corrupt
δι᾽ ἑτέρων ποιοίμην τὴν ἀπολογίαν, ἐξὸν αὐτοὺς
through others I-should-make the defense it-being-possible them
δείξαντι τούτους ἀπολύσασθαι τὴν διαβολὴν τὴν λεγομένην
having-shown these to-clear-away the slander the spoken
περὶ ἡμῶν. ὑμᾶς μὲν οὖν ἀξιῶ μοι διὰ ταῦτα
about us you indeed then I-ask me because-of these-things
συγγνώμην ἔχειν καὶ συναγωνιστὰς γίγνεσθαι, τοῖς δὲ
pardon to-have and fellow-contenders to-become to-the but

ἄλλοις ἤδη περαίνειν ἐπιχειρήσω, μικρὸν ἔτι προειπών,
rest now to-finish I-shall-attempt little still having-said-beforehand
ἵνα ῥᾷον ἐπακολουθῶσι τοῖς λεγομένοις.
so-that more-easily they-may-follow the things-said
57 ὁ μὲν γὰρ λόγος ὁ μέλλων πρῶτος ὑμῖν δειχθήσεσθαι
the indeed for speech the going first to-you to-be-shown
κατ᾽ ἐκείνους ἐγράφη τοὺς χρόνους, ὅτε Λακεδαιμόνιοι μὲν
in those was-written the times when Lacedaemonians indeed
ἦρχον τῶν Ἑλλήνων, ἡμεῖς δὲ ταπεινῶς ἐπράττομεν.
were-ruling of-the Greeks we but humbly were-faring
ἔστι δὲ τοὺς μὲν Ἕλληνας παρακαλῶν ἐπὶ τὴν τῶν
it-is and the indeed Greeks summoning to the against-the
βαρβάρων στρατείαν, Λακεδαιμονίοις δὲ περὶ τῆς ἡγεμονίας
νεωτερίζοντας ἐν τοῖς συμμάχοις, οὐκ ἐπηκολούθησε ταῖς
stirring-revolt among the allies not he-followed the
ὑμετέραις γνώμαις, οὐδ' ἠβουλήθη βλάπτων τὴν πόλιν
your opinions nor he-wished harming the city

εὐδοκιμεῖν, ἀλλὰ τοῦτ' ἐφιλοσόφει καὶ τοῦτ' ἔπραττεν, ὅπως
to-be-famous but this he-studied and this he-did how
μηδεμία τῶν πόλεων αὐτὸν φοβήσεται τῶν Ἑλληνίδων,
no of-the cities him will-fear of-the Greek
ἀλλὰ πᾶσαι θαρρήσουσι πλὴν τῶν ἀδικουσῶν.
but all will-be-confident except the-ones doing-wrong

122 ἠπίστατο γὰρ τούς τε δεδιότας ὅτι μισοῦσι δι' οὓς
he-knew for the-ones both fearing that they-hate because-of whom
ἂν τοῦτο πεπονθότες τυγχάνωσι, τήν τε πόλιν διὰ μὲν
— this having-suffered they-happen the both city because-of indeed
τὴν φιλίαν τὴν τῶν ἄλλων εὐδαιμονεστάτην καὶ μεγίστην
the friendship the of-the others most-prosperous and greatest
γενομένην, διὰ δὲ τὸ μῖσος μικρὸν ἀπολιποῦσαν τοῦ μὴ
having-become because-of but the hatred little having-fallen-short of-the not
ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν. ὧν ἐνθυμούμενος τῇ
in-the utmost misfortunes to-fall which considering by-the
μὲν δυνάμει τῇ τῆς πόλεως τοὺς πολεμίους κατεστρέφετο,
indeed power the of-the city the enemies he-subdued
τῷ δ' ἤθει τῷ αὑτοῦ τὴν εὔνοιαν τὴν τῶν ἄλλων
by-the but character the his-own the goodwill the of-the others
προσήγετο, νομίζων τοῦτο στρατήγημα μεῖζον εἶναι καὶ
he-won thinking this stratagem greater to-be and
κάλλιον ἢ πολλὰς πόλεις ἑλεῖν καὶ πολλάκις νικῆσαι
finer than many cities to-take and often to-conquer
μαχόμενος.
fighting

123 οὕτω δ' ἐσπούδαζε περὶ τὸ μηδεμίαν τῶν πόλεων μηδὲ
so and he-was-zealous about the no of-the cities even
μικρὰν ὑποψίαν περὶ αὐτοῦ λαβεῖν ὡς ἐπιβουλεύοντος,
small suspicion about him to-take as plotting
ὥσθ' ὁπότε μέλλοι τινὰ παραπλεῖν τῶν μὴ τὰς
that whenever he-was-about some to-sail-past of-the-ones not the

συντάξεις διδουσῶν, πέμψας προηγόρευε τοῖς ἄρχουσιν,
contributions paying having-sent he-announced to-the magistrates
ἵνα μὴ πρὸ τῶν λιμένων ἐξαίφνης ὀφθεὶς εἰς θόρυβον
so-that not before the harbors suddenly seen into confusion
καὶ ταραχὴν αὐτοὺς καταστήσειεν.
and turmoil them he-might-throw
εἰ δὲ τύχοι καθορμισθεὶς πρὸς τὴν χώραν, οὐκ ἂν ἐφῆκε 124
if but he-chanced having-anchored at the land not — he-allowed
τοῖς στρατιώταις ἁρπάζειν καὶ κλέπτειν καὶ πορθεῖν
the soldiers to-plunder and to-steal and to-sack
τὰς οἰκίας, ἀλλὰ τοσαύτην εἶχεν ἐπιμέλειαν ὑπὲρ τοῦ
the houses but so-much he-had care for the
μηδὲν γίγνεσθαι τοιοῦτον, ὅσην περ οἱ δεσπόται τῶν
nothing to-happen such as-much-as very the masters of-the
χρημάτων· οὐ γὰρ τούτῳ προσεῖχε τὸν νοῦν, ὅπως ἐκ
property not for to-this he-turned the mind how from
τῶν τοιούτων αὐτὸς εὐδοκιμήσει παρὰ τοῖς στρατιώταις,
the such-things he-himself will-be-famous among the soldiers
ἀλλ᾽ ὅπως ἡ πόλις παρὰ τοῖς Ἕλλησιν.
but how the city among the Greeks
πρὸς δὲ τούτοις τὰς δοριαλώτους τῶν πόλεων οὕτω πράως 125
besides and these the spear-won of-the cities so gently
διῴκει καὶ νομίμως ὡς οὐδεὶς ἄλλος τὰς συμμαχίδας,
he-administered and lawfully as no-one other the allied
ἡγούμενος, εἰ τοιοῦτος ὢν φαίνοιτο περὶ τοὺς
thinking if such being he-should-appear toward the-ones
πολεμήσαντας, τὴν μεγίστην πίστιν ἔσεσθαι δεδωκὼς ὡς
having-fought-against the greatest pledge to-be-going-to-be having-given that
οὐδέποτ᾽ ἂν περί γε τοὺς ἄλλους ἐξαμαρτεῖν τολμήσειεν.
never — toward at-least the others to-err he-would-dare

126 τοιγάρτοι διὰ τὴν δόξαν τὴν ἐκ τούτων γιγνομένην
therefore because-of the reputation the from these arising
πολλαὶ τῶν πόλεων τῶν πρὸς ὑμᾶς δυσκόλως ἐχουσῶν
many of-the cities the toward you ill being-disposed
ἀναπεπταμέναις αὐτὸν ἐδέχοντο ταῖς πύλαις· ἐν αἷς
with-open him received the gates in which
ἐκεῖνος οὐδεμίαν ταραχὴν ἐποίησεν, ἀλλ᾽ ὥσπερ οἰκουμένας
he no disturbance made but as inhabited
αὐτὰς εἰσιὼν κατέλαβεν, οὕτως ἐξιὼν κατέλειπεν.
them having-entered he-found so going-out he-left
127 κεφάλαιον δὲ πάντων τούτων· εἰθισμένων γὰρ τὸν
summary and of-all these accustomed for the
ἄλλον χρόνον πολλῶν γίγνεσθαι καὶ δεινῶν ἐν τοῖς
other time many to-happen and terrible-things among the
Ἕλλησιν, ἐπὶ τῆς ἐκείνου στρατηγίας οὐδεὶς ἂν οὔτ᾽
Greeks in the his generalship no-one — either
ἀναστάσεις εὕροι γεγενημένας οὔτε πολιτειῶν μεταβολὰς
expulsions would-find having-happened or of-constitutions changes
οὔτε σφαγὰς καὶ φυγὰς οὔτ᾽ ἄλλ᾽ οὐδὲν τῶν κακῶν
or slaughters and exiles or other anything of-the evils
τῶν ἀνηκέστων, ἀλλ᾽ οὕτως αἱ τοιαῦται συμφοραὶ κατ᾽
the incurable but so the such misfortunes in
ἐκεῖνον τὸν χρόνον ἐλώφησαν, ὥστε μόνος ὢν ἡμεῖς
that the time abated that alone of-whom we
μνημονεύομεν ἀνέγκλητον τὴν πόλιν τοῖς Ἕλλησι παρέσχε.
remember blameless the city to-the Greeks he-kept
128 καί τοι χρὴ στρατηγὸν ἄριστον νομίζειν οὐκ εἴ
and yet it-is-necessary general best to-think not if
τις μιᾷ τύχῃ τηλικοῦτόν τι κατώρθωσεν
anyone by-one stroke-of-luck so-great something achieved
ὥσπερ Λύσανδρος, ὃ μηδενὶ τῶν ἄλλων διαπράξασθαι
as Lysander which to-none of-the others to-accomplish

συμβέβηκεν, ἀλλ' ὅστις ἐπὶ πολλῶν καὶ παντοδαπῶν
has-happened but whoever in many and various
καὶ δυσκόλων πραγμάτων ὀρθῶς ἀεὶ πράττων καὶ νοῦν
and difficult affairs rightly always acting and sense
ἐχόντως διατετέλεκεν· ὅπερ Τιμοθέῳ συμβέβηκεν.
keeping has-continued which-very to-Timotheus has-happened
οἶμαι οὖν ὑμῶν τοὺς πολλοὺς θαυμάζειν τὰ λεγόμενα 129
I-think then of-you the many to-wonder-at the things-said
καὶ νομίζειν τὸν ἔπαινον τὸν ἐκείνου κατηγορίαν εἶναι
and to-think the praise the his accusation to-be
τῆς πόλεως, εἰ τοσαύτας μὲν πόλεις ἑλόντα μηδεμίαν
of-the city if so-many indeed cities having-taken none
δ' ἀπολέσαντα περὶ προδοσίας ἔκρινε, καὶ πάλιν εἰ
but having-lost about treason it-tried and again if
διδόντος εὐθύνας αὐτοῦ, καὶ τὰς μὲν πράξεις Ἰφικράτους
giving accounts him and the indeed actions Iphicrates
ἀναδεχομένου, τὸν δ' ὑπὲρ τῶν χρημάτων λόγον Μενεσθέως,
taking-on-himself the but about the money account Menestheus
τούτους μὲν ἀπέλυσε, Τιμόθεον δὲ τοσούτοις ἐζημίωσε
these indeed it-acquitted Timotheus but with-so-much fined
χρήμασιν ὅσοις οὐδένα πώποτε τῶν προγεγενημένων.
money as-much-as no-one ever of-the-ones before
ἔχει δ' οὕτως· βούλομαι γὰρ καὶ τὸν ὑπὲρ τῆς 130
it-is and so I-wish for also the on-behalf-of the
πόλεως λόγον εἰπεῖν. εἰ μὲν ὑμεῖς πρὸς αὐτὸ τὸ
city speech to-speak if indeed you toward itself the
δίκαιον ἀποβλέποντες σκέψεσθε περὶ τούτων, οὐκ ἔστιν
just looking will-consider about these-things not it-is
ὅπως οὐ δεινὰ καὶ σχέτλια πᾶσιν εἶναι δόξει τὰ
how not terrible and cruel to-all to-be will-seem the-things
πεπραγμένα περὶ Τιμόθεον· ἢν δ' ἀναλογίσησθε τὴν
done about Timotheus if but you-reckon the

ἄγνοιαν ὅσην ἔχομεν πάντες ἄνθρωποι, καὶ τοὺς φθόνους
ignorance how-much we-have all men and the envies
τοὺς ἐπιγιγνομένους ἡμῖν, ἔτι δὲ τὰς ταραχὰς καὶ τὴν
the coming-upon us further and the confusions and the
τύρβην ἐν ᾗ ζῶμεν, οὐδὲν τούτων ἀλόγως οὐδ' ἔξω
turmoil in which we-live nothing of-these unreasonably nor outside
τῆς ἀνθρωπίνης φύσεως εὑρεθήσεται γεγενημένον, ἀλλὰ
the human nature will-be-found having-happened but
καὶ Τιμόθεος μέρος τι συμβεβλημένος τοῦ μὴ κατὰ
also Timotheus part some having-contributed to-the not according-to
τρόπον γνωσθῆναι περὶ αὐτῶν.
manner to-be-judged about them
131 ἐκεῖνος γὰρ οὔτε μισόδημος ὢν οὔτε μισάνθρωπος
he for neither hater-of-the-people being nor misanthrope
οὔθ' ὑπερήφανος, οὔτ' ἄλλ' οὐδὲν ἔχων τῶν τοιούτων
nor arrogant nor other nothing having of-the such
κακῶν, διὰ τὴν μεγαλοφροσύνην τὴν τῇ στρατηγίᾳ
evils because-of the loftiness the for-the generalship
μὲν συμφέρουσαν, πρὸς δὲ τὰς χρείας τῶν ἀεὶ
indeed advantageous for but the needs of-the-things always
προσπιπτόντων οὐχ ἁρμόττουσαν, ἅπασιν ἔδοξεν ἔνοχος
befalling not suited to-all seemed liable
εἶναι τοῖς προειρημένοις· οὕτω γὰρ ἀφυὴς ἦν πρὸς
to-be to-the-things said-before so for ungifted he-was for
τὴν τῶν ἀνθρώπων θεραπείαν ὥσπερ δεινὸς περὶ τὴν
the of-the men courting as clever about the
τῶν πραγμάτων ἐπιμέλειαν.
of-the affairs management

VII · WHY TIMOTHEUS WAS DISLIKED

Timotheus' loftiness, so suited to command, seemed offensive to his fellow citizens. Isocrates often warned him that a man in public life must speak and act pleasantly, since the many love flatterers more than benefactors; Timotheus agreed but could not change his nature. So the orators fabricated many false charges against him and the people accepted them; Isocrates would gladly answer them, but has no occasion now. Then he tells how, while preparing this defense, a friend warned him that some men, made savage by envy and want, hate successes rather than wickedness: Isocrates' own speeches and pupils earn him envy, and men think he lives more at ease than others and that his income from foreigners is far larger than it is, since he keeps out of offices, lawsuits, and public business. The friend added that Isocrates and his son have served as trierarch three times and performed the other liturgies more lavishly than the law requires, and Isocrates answered that he arranged his quiet life not from wealth or arrogance but from love of quiet and freedom from meddling.

καί τοι πολλάκις καὶ παρ' ἐμοῦ τοιούτους λόγους ἤκουσεν, 132
and yet often also from me such words he-heard
ὡς χρὴ τοὺς πολιτευομένους καὶ βουλομένους ἀρέσκειν
that it-is-necessary the-ones engaging-in-politics and wishing to-please
προαιρεῖσθαι μὲν τῶν τε πράξεων τὰς ὠφελιμωτάτας
to-choose indeed of-the both actions the most-useful
καὶ βελτίστας καὶ τῶν λόγων τοὺς ἀληθεστάτους καὶ
and best and of-the words the truest and
δικαιοτάτους, οὐ μὴν ἀλλὰ κἀκεῖνο παρατηρεῖν καὶ
most-just not however but also-that to-watch and
σκοπεῖν, ὅπως ἐπιχαρίτως καὶ φιλανθρώπως ἅπαντα
to-consider how graciously and humanely all
φανήσονται καὶ λέγοντες καὶ πράττοντες, ὡς οἱ τούτων
they-will-appear both speaking and doing since the-ones these

ὀλιγωροῦντες ἐπαχθέστεροι καὶ βαρύτεροι δοκοῦσιν εἶναι
neglecting more-offensive and more-burdensome seem to-be
τοῖς συμπολιτευομένοις.
to-the fellow-citizens

133 "ὁρᾷς δὲ τὴν φύσιν τὴν τῶν πολλῶν ὡς διάκειται πρὸς
you-see and the nature the of-the many how it-is-disposed toward
τὰς ἡδονάς, καὶ διότι μᾶλλον φιλοῦσι τοὺς πρὸς
the pleasures and that more they-love the-ones with-a-view-to
χάριν ὁμιλοῦντας ἢ τοὺς εὖ ποιοῦντας, καὶ τοὺς μετὰ
favor associating than the-ones well doing and the-ones with
φαιδρότητος καὶ φιλανθρωπίας φενακίζοντας ἢ τοὺς
cheerfulness and kindliness cheating than the-ones
μετ' ὄγκου καὶ σεμνότητος ὠφελοῦντας. ὧν οὐδέν
with pomp and dignity benefiting of-which nothing
σοι μεμέληκεν, ἀλλ' ἢν ἐπιεικῶς τῶν ἔξω πραγμάτων
to-you has-mattered but if reasonably of-the outside affairs
ἐπιμεληθῇς, οἴει σοι καὶ τοὺς ἐνθάδε πολιτευομένους
you-take-care you-think for-you also the-ones here engaging-in-politics
καλῶς ἕξειν.
well to-be-going-to-be

134 τὸ δ' οὐχ οὕτως ἀλλὰ τοὐναντίον φιλεῖ συμβαίνειν. ἢν
the but not so but the-opposite is-wont to-happen if
γὰρ τούτοις ἀρέσκῃς, ἅπαν ὅ τι ἂν πράξῃς οὐ πρὸς
for these you-please all what ever — you-do not according-to
τὴν ἀλήθειαν κρινοῦσιν ἀλλὰ πρὸς τὸ σοὶ συμφέρον
the truth they-will-judge but by the to-you advantageous
ὑπολήψονται, καὶ τὰ μὲν ἁμαρτανόμενα παρόψονται, τὸ
they-will-construe and the indeed errors they-will-overlook the
δὲ κατορθωθὲν οὐρανόμηκες ποιήσουσιν· ἡ γὰρ εὔνοια
but success sky-high they-will-make the for goodwill
πάντας οὕτω διατίθησιν.
all so disposes

“Ἣν σὺ τῇ μὲν πόλει παρὰ τῶν ἄλλων ἐκ παντὸς 135
Which you for-the indeed city from the others by every
τρόπου κτήσασθαι ζητεῖς, ἡγούμενος μέγιστον εἶναι τῶν
means to-acquire seek thinking greatest to-be of-the
ἀγαθῶν, αὐτὸς δὲ σαυτῷ παρὰ τῆς πόλεως οὐκ οἴει
goods yourself but for-yourself from the city not you-think
δεῖν τὴν αὐτὴν ταύτην παρασκευάζειν, ἀλλὰ πλείστων
to-be-necessary the same this to-procure but of-most
ἀγαθῶν αἴτιος γεγενημένος χεῖρον διάκεισαι τῶν οὐδὲν
goods cause having-been worse you-are-placed than-the-ones nothing
ἄξιον λόγου διαπεπραγμένων.
worthy of-speech having-achieved
“Εἰκότως· οἱ μὲν γὰρ τοὺς ῥήτορας καὶ τοὺς ἐν 136
Reasonably they indeed for the orators and the-ones in
τοῖς ἰδίοις συλλόγοις λογοποιεῖν δυναμένους καὶ πάντα
the private gatherings to-make-stories able and all-things
προσποιουμένους εἰδέναι θεραπεύουσι, σὺ δ’ οὐ μόνον
pretending to-know court you but not only
ἀμελεῖς, ἀλλὰ καὶ πολεμεῖς τοῖς μέγιστον ἀεὶ δυναμένοις
neglect but also war-on the-ones greatest always being-able
αὐτῶν. “Καί τοι πόσους οἴει διὰ τὰς τούτων
of-them And yet how-many think-you because-of the of-these
ψευδολογίας τοὺς μὲν συμφοραῖς περιπεπτωκέναι, τοὺς
lies the-ones indeed into-misfortunes to-have-fallen the-others
δ’ ἀτίμους εἶναι; πόσους δὲ τῶν προγεγενημένων
but disfranchised to-be how-many and of-the-ones before
ἀνωνύμους εἶναι; πολὺ σπουδαιοτέρους καὶ πλέονος ἀξίους
nameless to-be much more-earnest and of-more worth
γεγενημένους τῶν ᾀδομένων καὶ τραγῳδουμένων;
having-been than-the-ones sung and in-tragedies

137 ἀλλ᾽ οἱ μέν, οἶμαι, ποιητῶν ἔτυχον καὶ λογοποιῶν, οἱ
but those indeed I-think poets got and prose-writers the-others
δ᾽ οὐκ ἔσχον τοὺς ὑμνήσοντας. ἢν οὖν ἐμοὶ πείθῃ καὶ
but not had the-ones going-to-hymn if then me you-obey and
νοῦν ἔχῃς, οὐ καταφρονήσεις τῶν ἀνδρῶν τούτων, οἷς
sense have not you-will-despise the men these whom
τὸ πλῆθος εἴθισται πιστεύειν οὐ μόνον περὶ ἑνὸς ἑκάστου
the multitude is-accustomed to-believe not only about one each
τῶν πολιτῶν ἀλλὰ καὶ περὶ ὅλων τῶν πραγμάτων,
of-the citizens but also about whole the affairs
ἀλλ᾽ ἐπιμέλειάν τινα ποιήσει καὶ θεραπείαν αὐτῶν, ἵν᾽
but care some you-will-make and courting of-them so-that
εὐδοκιμήσῃς δι᾽ ἀμφότερα, καὶ διὰ τὰς σαυτοῦ
you-may-be-well-thought-of through both both through the your-own
πράξεις καὶ διὰ τοὺς τούτων λόγους.”
actions and through the of-these words

138 ταῦτα δ᾽ ἀκούων ὀρθῶς μὲν ἔφασκέ με λέγειν, οὐ
these-things and hearing rightly indeed he-said me to-speak not
μὴν οἷός τ᾽ ἦν τὴν φύσιν μεταβαλεῖν, ἀλλ᾽ ἦν
however able — he-was the nature to-change but he-was
μὲν καλὸς κἀγαθὸς ἀνὴρ καὶ τῆς πόλεως καὶ τῆς
indeed fine and-good man and of-the city and —
Ἑλλάδος ἄξιος, οὐ μὴν σύμμετρός γε τοῖς τοιούτοις
of-Greece worthy not however fitted at-least to-the such
τῶν ἀνθρώπων, ὅσοι τοῖς ὑπὲρ αὑτοὺς πεφυκόσιν
of-the men as-many-as at-the-ones above themselves endowed
ἀχθόμενοι τυγχάνουσι. τοιγαροῦν οἱ μὲν ῥήτορες ἔργον
annoyed happen therefore the indeed orators task
εἶχον αἰτίας περὶ αὐτοῦ πολλὰς καὶ ψευδεῖς πλάττειν, τὸ
had charges about him many and false to-fabricate the
δὲ πλῆθος ἀποδέχεσθαι τὰς ὑπὸ τούτων λεγομένας.
but multitude to-accept the by these spoken

περὶ ὧν ἡδέως ἂν ἀπελογησάμην, εἰ καιρὸν εἶχον· οἶμαι 139
about which gladly — I-would-have-made-defense if occasion I-had I-think
γὰρ ἂν ὑμᾶς ἀκούσαντας μισῆσαι τούς τε προαγαγόντας
for — you having-heard would-hate the-ones both having-led-on
τὴν πόλιν ἐπὶ τὴν ὀργὴν τὴν πρὸς ἐκεῖνον καὶ τοὺς
the city to the anger the against him and the-ones
φλαῦρόν τι περὶ αὐτοῦ λέγειν τολμῶντας. νῦν δὲ
mean something about him to-say daring now but
ταῦτα μὲν ἐάσω, περὶ ἐμαυτοῦ δὲ καὶ τῶν ἐνεστώτων
these-things indeed I-shall-let-be about myself and also the present
πραγμάτων πάλιν ποιήσομαι τοὺς λόγους.
affairs again I-shall-make the speech
ἀπορῶ δ' ὅ τι χρήσομαι τοῖς ὑπολοίποις, καὶ τίνος 140
I-am-at-a-loss and what ever I-shall-deal-with the remaining-things and which
πρώτου μνησθῶ καὶ ποίου δευτέρου· τὸ γὰρ ἐφεξῆς
first I-may-mention and what-sort second the for in-order
με λέγειν διαπέφευγεν. ἴσως μὲν οὖν ἀναγκαῖόν ἐστιν, ὡς
me to-speak has-escaped perhaps indeed then necessary it-is as
ἂν ἕκαστον τύχῃ προσπεσόν, οὕτως εἰπεῖν περὶ αὐτῶν·
— each chances having-occurred so to-speak about them
ἃ δ' οὖν μοι νῦν ἐπελήλυθε, καὶ περὶ ὧν ἐγὼ μὲν
which but anyway to-me now has-occurred and about which I indeed
ἐνόμιζον εἶναι δηλωτέον, ἄλλος δέ τίς μοι συνεβούλευε
thought to-be to-be-made-clear another but some me was-advising
μὴ λέγειν, οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς.
not to-speak not I-shall-conceal from you
ἐπειδὴ γὰρ ἀπήνεγκε τὴν γραφήν, ἐσκόπουν περὶ αὐτῶν 141
when for he-brought-in the indictment I-was-considering about them
τούτων ὥσπερ ἂν ὑμῶν ἕκαστος, καὶ τόν τε βίον τὸν
these as — of-you each and the both life the
ἐμαυτοῦ καὶ τὰς πράξεις ἐξήταζον, καὶ πλεῖστον χρόνον
my-own and the actions I-was-examining and most time

περὶ τὰς τοιαύτας διέτριβον ἐφ' αἷς ᾠόμην ἐπαινεῖσθαί με
on the such I-spent for which I-thought to-be-praised me
προσήκειν. ἀκροώμενος δέ τις τῶν ἐπιτηδείων ἐτόλμησεν
to-befit listening but someone of-the intimates dared
εἰπεῖν πρός με λόγον πάντων σχετλιώτατον, ὡς ἄξια
to-say to me a-word of-all most-cruel that worthy
μὲν εἴη τὰ λεγόμενα φιλοτιμίας, οὐ μὴν ἀλλ' αὐτός
indeed were the-things said of-ambition not however but he-himself
γε δεδιέναι ταῦτα μάλιστα, μὴ πολλοὺς λυπήσῃ
at-least to-fear these-things most lest many they-should-pain
τῶν ἀκουόντων.
of-the hearers

142 "Οὕτω γάρ" ἔφη "τινὲς ὑπὸ τοῦ φθόνου καὶ τῶν
So for he-said some by the envy and the
ἀποριῶν ἐξηγρίωνται καὶ δυσμενῶς ἔχουσιν, ὥστ' οὐ ταῖς
straits have-grown-savage and hostilely are-disposed that not the
πονηρίαις ἀλλὰ ταῖς εὐπραγίαις πολεμοῦσι, καὶ μισοῦσιν οὐ
wickednesses but the successes they-war-on and hate not
μόνον τῶν ἀνθρώπων τοὺς ἐπιεικεστάτους, ἀλλὰ καὶ τῶν
only of-the men the most-decent but also of-the
ἐπιτηδευμάτων τὰ βέλτιστα, καὶ πρὸς τοῖς ἄλλοις κακοῖς
pursuits the best and besides the other evils
τοῖς μὲν ἀδικοῦσι συναγωνίζονται καὶ συγγνώμην ἔχουσιν,
with-the indeed wrongdoers they-side and pardon have
οἷς δ' ἂν φθονήσωσιν ἀπολλύουσιν, ἤν περ δυνηθῶσι.
whom but — they-envy they-destroy if very they-be-able

143 ταῦτα δὲ δρῶντες οὐκ ἀγνοοῦσι περὶ ὧν τὴν
these-things and doing not they-are-ignorant about which the
ψῆφον οἴσουσιν, ἀλλ' ἀδικήσειν μὲν ἐλπίζοντες,
vote they-will-cast but to-be-going-to-do-wrong indeed hoping
ὀφθήσεσθαι δ' οὐ προσδοκῶντες· σώζοντες οὖν τοὺς
to-be-going-to-be-seen but not expecting saving then the-ones

ὁμοίους σφίσιν αὐτοῖς βοηθεῖν νομίζουσι. “Τούτου δ’
like to-them themselves to-help they-think Of-this and
ἕνεκά σοι ταῦτα διῆλθον, ἵνα προειδὼς ἄμεινον
for-the-sake to-you these-things I-went-through so-that knowing-beforehand better
προσφέρῃ καὶ τοῖς λόγοις ἀσφαλεστέροις χρῇ πρὸς
you-may-approach and the words safer you-may-use toward
αὐτούς, ἐπεὶ νῦν γε τίνα χρὴ προσδοκᾶν γνώμην
them since now at-least what it-is-necessary to-expect opinion
ἔξειν τοὺς τοιούτους, ὅταν τόν τε βίον τὸν σαυτοῦ
to-be-going-to-have the such-men whenever the both life the your-own
καὶ τὰς πράξεις διεξίῃς μηδὲ κατὰ μικρὸν ὁμοίας οὔσας
and the actions you-recount not-even by little like being
ταῖς τούτων, ἀλλ’ οἵας περ πρὸς ἐμὲ λέγειν ἐπιχειρεῖς;
to-those of-them but such very to me to-say you-attempt
ἀποφαίνεις γὰρ τούς τε λόγους οὓς γέγραφας οὐ 144
you-show for the both speeches which you-have-written not
μέμψεως ἀλλὰ χάριτος τῆς μεγίστης ἀξίους ὄντας, τῶν
of-blame but of-gratitude the greatest worthy being of-the
τε πεπλησιακότων σοι τοὺς μὲν οὐδὲν ἠδικηκότας
both having-associated with-you the-ones indeed nothing having-done-wrong
οὐδ’ ἡμαρτηκότας, τοὺς δὲ δι’ ἀρετὴν ὑπὸ τῆς πόλεως
nor having-erred the-others but for virtue by the city
ἐστεφανωμένους, τά τε καθ’ ἡμέραν οὕτω κοσμίως καὶ
crowned the both by day so orderly and
τεταγμένως βεβιωκότα σαυτὸν ὡς οὐκ οἶδ’ εἴ τις
regularly having-lived yourself as not I-know if anyone
ἄλλος τῶν πολιτῶν, ἔτι δὲ μήτε δεδικασμένον μηδενὶ
other of-the citizens further and neither having-gone-to-law with-anyone
μήτε πεφευγότα πλὴν περὶ ἀντιδόσεως, μήθ’ ἑτέροις
nor having-been-tried except about exchange nor for-others

συνηγωνισμένον μήτε μεμαρτυρηκότα, μήτ᾽ ἄλλο πεποιηκότα
having-pleaded nor having-borne-witness nor other having-done
μηδέν, ἐν οἷς ἅπαντες πολιτευόμενοι τυγχάνουσι.
anything in which all engaging-in-politics happen
145 πρὸς δὲ τούτοις οὕτως ἰδίοις οὖσι καὶ περιττοῖς κἀκεῖνο
besides and these so peculiar being and extraordinary that-too
λέγεις, ὡς τῶν μὲν ἀρχῶν καὶ τῶν ὠφελιῶν τῶν
you-say that from-the indeed offices and the benefits the
ἐντεῦθεν γιγνομένων καὶ τῶν ἄλλων ἁπάντων τῶν κοινῶν
from-there arising and the other all the public-things
ἐξέστηκας, εἰς δὲ τοὺς διακοσίους καὶ χιλίους τοὺς
you-have-stood-aside into but the two-hundred and thousand the-ones
εἰσφέροντας καὶ λειτουργοῦντας οὐ μόνον αὑτὸν παρέχεις
paying-property-tax and performing-public-services not only yourself you-furnish
ἀλλὰ καὶ τὸν υἱόν, καὶ τρὶς μὲν ἤδη τετριηραρχήκατε,
but also the son and thrice indeed already you-have-been-trierarchs
τὰς δ᾽ ἄλλας λειτουργίας πολυτελέστερον λελειτουργήκατε
the but other public-services more-lavishly you-have-performed
καὶ κάλλιον ὧν οἱ νόμοι προστάττουσι.
and more-finely than-what the laws prescribe
146 Ταῦτ᾽ ἀκούοντας τοὺς τἀναντία πᾶσι τοῖς προειρημένοις
These-things hearing the-ones the-opposite to-all the said-before
ἐπιτετηδευκότας οὐκ οἴει βαρέως οἴσειν καὶ
having-practiced not think-you heavily to-be-going-to-bear and
νομιεῖν ἐλέγχεσθαι τὸν βίον τὸν αὑτῶν οὐ σπουδαῖον
to-be-going-to-think to-be-refuted the life the their-own not worthy
ὄντα; καὶ γὰρ εἰ μὲν μετὰ πόνου καὶ ταλαιπωρίας
being and for if indeed with toil and hardship
ᾐσθάνοντό σε ποριζόμενον εἴς τε τὰς λειτουργίας καὶ περὶ
they-perceived you providing for both the public-services and for
τὴν ἄλλην διοίκησιν, οὐκ ἂν ὁμοίως ἔμελεν αὐτοῖς·
the other management not — similarly it-would-concern them

νῦν δὲ τά τε παρὰ τῶν ξένων σοι γιγνόμενα πολὺ
now but the-things both from the foreigners to-you coming much
πλείω νομίζουσιν εἶναι τῶν διδομένων,
more they-think to-be than-the-things given
αὐτόν τε σὲ ῥᾳθυμότερον ἡγοῦνται ζῆν οὐ μόνον τῶν 147
yourself and you more-idly they-think to-live not only than-the
ἄλλων ἀλλὰ καὶ τῶν περὶ τὴν φιλοσοφίαν καὶ τὴν αὐτήν
others but also the-ones about the philosophy and the same
σοι πραγματείαν ὄντων. “Ὁρῶσι γὰρ ἐκείνων μὲν
with-you business being They-see for of-those indeed
τοὺς πλείστους, πλὴν τῶν τὸν σὸν βίον καὶ τὸν τρόπον
the most except the-ones the your life and the manner
ἠγαπηκότων, ἔν τε ταῖς πανηγύρεσι καὶ τοῖς ἰδίοις συλλόγοις
having-loved in both the festivals and the private gatherings
ἐπιδείξεις ποιουμένους, διαγωνιζομένους πρὸς ἀλλήλους,
displays making contending with one-another
καθ’ ὑπερβολὴν ὑπισχνουμένους, ἐρίζοντας, λοιδορουμένους,
by excess promising quarreling railing
οὐδὲν ἀπολείποντας κακῶν, ἀλλὰ σφίσι μὲν αὐτοῖς 148
nothing omitting of-evils but for-them indeed themselves
πράγματα παρέχοντας, τοῖς δ’ ἀκροωμένοις ἐξουσίαν
troubles causing to-the but listeners license
παραδιδόντας τοῖς μὲν καταγελάσαι τῶν λεγομένων,
giving to-the-ones indeed to-laugh-at the things-said
ἐνίοις δ’ ἐπαινέσαι, τοῖς δὲ πλείστοις μισῆσαι, τοῖς δ’
to-some but to-praise to-the but most to-hate to-the but
ὅπως ἕκαστοι βούλονται διατεθῆναι πρὸς αὐτούς· σὲ δ’
as each wish to-be-disposed toward them you but
οὐδενὸς μετέχοντα τούτων, ἀλλ’ ἀνομοίως ζῶντα καὶ τοῖς
in-nothing sharing of-these but unlike living both to-the

σοφισταῖς καὶ τοῖς ἰδιώταις, καὶ τοῖς πολλὰ κεκτημένοις
sophists and to-the private-men and to-the-ones much having-acquired
καὶ τοῖς ἀπόρως διακειμένοις.
and to-the-ones poorly being-placed
149 ἐφ' οἷς οἱ μὲν λογίζεσθαι δυνάμενοι καὶ νοῦν ἔχοντες
at which the-ones indeed to-reason able and sense having
ἴσως ἄν σε ζηλώσειαν, οἱ δὲ καταδεέστερον πράττοντες
perhaps — you would-emulate the-ones but more-meanly faring
καὶ λυπεῖσθαι μᾶλλον εἰωθότες ἐπὶ ταῖς τῶν ἄλλων
and to-be-pained more accustomed at the of-the others
ἐπιεικείαις ἢ ταῖς ἑαυτῶν ἀτυχίαις οὐκ ἔστιν ὅπως οὐ
merits than at-the their-own misfortunes not it-is how not
δυσκολανοῦσι καὶ χαλεπῶς οἴσουσιν. ὡς οὖν οὕτως αὐτῶν
they-will-be-annoyed and harshly will-bear as then so them
διατεθησομένων σκόπει τί σοι λεκτέον τούτων καὶ τί
going-to-be-disposed consider what for-you must-be-said of-these and what
παραλειπτέον ἐστίν."
must-be-omitted is
150 ἐγὼ δὲ κἀκείνου τότε ταῦτα λέγοντος καὶ νῦν ἡγοῦμαι
I but also-him then these-things saying and now think
πάντων ἀνθρώπων ἀτοπωτάτους εἶναι καὶ σχετλιωτάτους,
of-all men most-absurd to-be and most-cruel
οἵτινες βαρέως ἂν ἀκούοιεν εἰ λειτουργοῦντα μὲν ἐμαυτὸν
who heavily — would-bear if performing-public-services indeed myself
τῇ πόλει παρέχω καὶ ποιοῦντα τὸ προσταττόμενον,
to-the city I-furnish and doing the-thing prescribed
μηδὲν δὲ δέομαι μήτε κληροῦσθαι τῶν ἀρχῶν ἕνεκα,
nothing but I-ask either to-be-allotted of-the offices for-the-sake
μήτε λαμβάνειν ἃ τοῖς ἄλλοις ἡ πόλις δίδωσι, μήτ'
nor to-receive what to-the others the city gives nor
αὖ φεύγειν δίκας μήτε διώκειν.
again to-defend lawsuits nor to-prosecute

ταῦτα γὰρ συνεταξάμην οὐ διὰ πλοῦτον οὐδὲ δι' 151
these-things for I-arranged not because-of wealth nor because-of
ὑπερηφανίαν, οὐδὲ καταφρονῶν τῶν μὴ τὸν αὐτὸν
arrogance nor despising the-ones not the same
τρόπον ἐμοὶ ζώντων, ἀλλὰ τὴν μὲν ἡσυχίαν καὶ τὴν
way as-me living but the indeed quiet and the
ἀπραγμοσύνην ἀγαπῶν, μάλιστα δ' ὁρῶν τοὺς τοιούτους
noninterference loving most and seeing the such-men
καὶ παρ' ὑμῖν καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμοῦντας, ἔπειτα
both among you and among the others well-reputed then
τὸν βίον ἡδίω νομίσας εἶναι τοῦτον ἢ τὸν τῶν
the life more-pleasant having-thought to-be this than the of-the-ones
πολλὰ πραττόντων, ἔτι δὲ ταῖς διατριβαῖς ταῖς ἐμαῖς
many-things doing further and to-the occupations the my
πρεπωδέστερον, αἷς ἐξ ἀρχῆς κατεστησάμην.
more-fitting which from beginning I-established

VIII · HIS WEALTH AND THE CITY

He kept away from the profits of the city and spent from his own means, so he does not know how to please his accusers. No sophist ever amassed much money; Gorgias, who earned the most, lived in no city permanently, paid no taxes, married no wife, and left only a thousand staters. He reflects how the city has changed: in his boyhood men pretended to more wealth than they had, and now the rich must defend themselves as if it were a crime. He lost his own estate in the war and began to teach, and now the city oppresses the decent and gives license to the wicked. He then turns to the prejudice against philosophy itself: the city is large and not easily surveyed, and its opinions are carried along like a torrent.

τούτων μὲν ἕνεκα τοῦτον τὸν τρόπον ζῆν προειλόμην· 152
of-these indeed for-the-sake this the way to-live I-chose
τῶν δὲ λημμάτων τῶν παρὰ τῆς πόλεως ἀπεσχόμην
from-the and gains the from the city I-kept-away

δεινὸν ἡγησάμενος, εἰ δυνάμενος ἐκ τῶν ἰδίων τρέφειν
terrible having-thought if being-able from the own-means to-support
ἐμαυτὸν ἐμποδὼν τῳ γενήσομαι τῶν ἐντεῦθεν ζῆν
myself in-the-way to-anyone I-shall-be of-the-ones from-here to-live
ἠναγκασμένων, καὶ διὰ τὴν ἐμὴν παρουσίαν ἐνδεής τις
compelled and because-of the my presence lacking anyone
γενήσεται τῶν ἀναγκαίων. ὑπὲρ ὧν ἐπαίνου τυγχάνειν
will-become of-the necessities for which praise to-obtain
ἄξιος ἦν μᾶλλον ἢ διαβολῆς.
worthy I-was rather than slander

153 νῦν δ' εἰς πολλὴν ἀπορίαν καθέστηκα, τί δρῶν ἀρέσαι
now but into great perplexity I-have-come what doing to-please
δυνηθείην ἂν τοῖς τοιούτοις. εἰ γὰρ ἅπαντα τὸν χρόνον
I-could-be-able — the such-men if for all the time
ἔργον ποιούμενος ὅπως μηδένα μήτ' ἀδικήσω μήτ'
task making how no-one either I-shall-wrong or
ἐνοχλήσω μήτε λυπήσω, δι' αὐτὰ ταῦτα λυπῶ τινας,
I-shall-annoy or I-shall-pain because-of very these-things I-pain some
τί ποιῶν ἂν χαριζοίμην; ἢ τί λοιπόν ἐστι πλὴν ἐμὲ
what doing — could-I-gratify or what remaining is except me
μὲν ἀτυχῆ, τοὺς δὲ τοιούτους ἀμαθεῖς δοκεῖν εἶναι καὶ
indeed unfortunate the but such-men ignorant to-seem to-be and
δυσκόλους τοῖς συμπολιτευομένοις;
difficult to-the fellow-citizens

154 πρὸς μὲν οὖν τοὺς μηδὲν τῶν αὐτῶν τοῖς ἄλλοις
toward indeed then the-ones nothing of-the same as-the others
γιγνώσκοντας, ἀλλὰ χαλεπωτέρους ὄντας τοῖς μὴ κακῶς
judging but harsher being to-the-ones not badly
πράττουσιν ἢ τοῖς ἀδικοῦσι, μωρόν ἐστιν ἀπολογίαν
faring than to-the wrongdoers foolish it-is defense
ζητεῖν· ὅσῳ γὰρ ἄν τις ἐπιεικέστερον αὑτὸν ἐπιδείξῃ,
to-seek by-as-much for — anyone more-decent himself shows

δῆλον ὅτι τοσούτῳ χεῖρον ἀγωνιεῖται παρ᾽ αὐτοῖς· πρὸς δὲ
clear that by-so-much worse he-will-contend before them toward but
τοὺς ἄλλους, περὶ ὧν Λυσίμαχος διέβαλεν, ὡς παμπληθῆ
the others about what Lysimachus slandered that vast
κεκτήμεθα τὴν οὐσίαν, ἀναγκαῖόν ἐστιν εἰπεῖν, ἵνα μὴ
we-have-acquired the property necessary it-is to-speak so-that not
πιστευθεὶς ὁ λόγος εἰς μείζους καὶ πλείους ἡμᾶς ἐμβάλῃ
believed the story into greater and more us may-throw
λειτουργίας ὧν ὑπενεγκεῖν ἂν δυνηθεῖμεν.
public-services than-what to-bear — we-could-be-able
ὅλως μὲν οὖν οὐδεὶς εὑρεθήσεται τῶν καλουμένων σοφιστῶν 155
altogether indeed then no-one will-be-found of-the so-called sophists
πολλὰ χρήματα συλλεξάμενος, ἀλλ᾽ οἱ μὲν ἐν ὀλίγοις
much money having-collected but the-ones indeed in few-means
οἱ δ᾽ ἐν πάνυ μετρίοις τὸν βίον διαγαγόντες· ὁ δὲ
the-others but in quite moderate the life having-passed the-one and
πλεῖστα κτησάμενος ὧν ἡμεῖς μνημονεύομεν, Γοργίας
most having-acquired of-whom we remember Gorgias
ὁ Λεοντῖνος, οὗτος διατρίψας μὲν περὶ Θετταλίαν, ὅτ᾽
the Leontine this-man having-spent-time indeed about Thessaly when
εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν, πλεῖστον δὲ χρόνον
most-prosperous of-the Greeks they-were longest and time
βιοὺς καὶ περὶ τὸν χρηματισμὸν τοῦτον γενόμενος,
having-lived and about the money-making this having-been
πόλιν δ᾽ οὐδεμίαν καταπαγίως οἰκήσας οὐδὲ περὶ τὰ 156
city but none permanently having-inhabited nor on the
κοινὰ δαπανηθεὶς οὐδ᾽ εἰσφορὰν εἰσενεγκεῖν ἀναγκασθείς,
public-things having-spent nor property-tax to-pay having-been-compelled
ἔτι δὲ πρὸς τούτοις οὔτε γυναῖκα γήμας οὔτε
further and besides these neither a-wife having-married nor
παῖδας ποιησάμενος, ἀλλ᾽ ἀτελὴς γενόμενος καὶ ταύτης
children having-begotten but exempt having-been also from-this

τῆς λειτουργίας τῆς ἐνδελεχεστάτης καὶ πολυτελεστάτης,
the public-service the most-continuous and most-costly
τοσοῦτον προλαβὼν πρὸς τὸ πλείω κτήσασθαι τῶν
so-much having-gained-in-advance toward the more to-acquire than-the
ἄλλων, χιλίους μόνους στατῆρας κατέλιπε.
others thousand only staters left
157 καί τοι χρὴ περὶ τῆς οὐσίας τῆς ἀλλήλων μὴ τοῖς
and yet it-is-necessary about the property the of-one-another not the-ones
αἰτιωμένοις εἰκῇ πιστεύειν, μηδὲ τὰς ἐργασίας ἴσας
accusing at-random to-believe nor the earnings equal
νομίζειν τάς τε τῶν σοφιστῶν καὶ τὰς τῶν ὑποκριτῶν,
to-think the both of-the sophists and the of-the actors
ἀλλὰ τοὺς ἐν ταῖς αὐταῖς τέχναις ὄντας πρὸς ἀλλήλους
but the-ones in the same arts being with one-another
κρίνειν, καὶ τοὺς ὁμοίαν ἐν ἑκάστῃ δύναμιν λαβόντας
to-judge and the-ones like in each power having-got
παραπλησίαν καὶ τὴν οὐσίαν ἔχειν νομίζειν.
similar also the property to-have to-think
158 ἢν οὖν ἐξισώσητέ με τῷ πλεῖστον ἐξειργασμένῳ καὶ
if then you-equate me with-the-one most having-earned and
θῆτε πρὸς ἐκεῖνον, οὔθ' ὑμεῖς παντάπασιν ἀσκέπτως
you-set beside him neither you altogether without-examination
εἰκάζειν δόξετε περὶ τῶν τοιούτων, οὔθ' ἡμεῖς εὑρεθεῖμεν ἂν
to-guess will-seem about the such-things nor we would-be-found —
οὔτε τὰ περὶ τὴν πόλιν οὔτε τὰ περὶ ἡμᾶς αὐτοὺς
neither the-things about the city nor the-things about us ourselves
κακῶς διῳκηκότες, ἀλλ' ἀπ' ἐλαττόνων ζῶντες ὧν εἰς
badly having-managed but from less living than-what on
τὰς λειτουργίας ἀνηλώκαμεν. καί τοι τοὺς εὐτελεστέρους ἐν
the public-services we-have-spent and yet the-ones more-frugal in
τοῖς ἰδίοις ἢ τοῖς κοινοῖς ὄντας δίκαιόν ἐστιν ἐπαινεῖν.
the private-things than in-the public being just it-is to-praise

ἐνθυμοῦμαι δὲ μεταξὺ λέγων, ὅσον τὰ τῆς πόλεως 159
I-reflect and meanwhile speaking how-much the-things of-the city
μεταπέπτωκε, καὶ τὰς διανοίας ὡς οὐδὲν ὁμοίας περὶ τῶν
have-changed and the minds how in-no-way like about the
πραγμάτων οἱ νῦν τοῖς πρότερον πεπολιτευμένοις
affairs the-ones now to-the-ones earlier having-been-statesmen
ἔχουσιν. ὅτε μὲν γὰρ ἐγὼ παῖς ἦν, οὕτως ἐνομίζετο
have when indeed for I a-child was so it-was-thought
τὸ πλουτεῖν ἀσφαλὲς εἶναι καὶ σεμνὸν ὥστ' ὀλίγου δεῖν
the to-be-rich safe to-be and dignified that little lacking
πάντες προσεποιοῦντο πλείω κεκτῆσθαι τὴν οὐσίαν ἧς
all pretended more to-have-acquired the property than-what
ἔχοντες ἐτύγχανον,
having they-happened
βουλόμενοι μετασχεῖν τῆς δόξης ταύτης· νῦν δ' ὑπὲρ τοῦ 160
wishing to-share of-the reputation this now but for the
μὴ πλουτεῖν ὥσπερ τῶν μεγίστων ἀδικημάτων ἀπολογίαν
not to-be-rich as for-the greatest crimes defense
δεῖ παρασκευάζεσθαι καὶ σκοπεῖν, εἰ μέλλει τις
it-is-necessary to-prepare and to-consider if is-going anyone
σωθήσεσθαι. πολὺ γὰρ δεινότερον καθέστηκε τὸ δοκεῖν
to-be-saved much for more-terrible has-become the to-seem
εὐπορεῖν ἢ τὸ φανερῶς ἀδικεῖν· οἱ μὲν γὰρ ἢ
to-be-well-off than the openly to-do-wrong the-ones indeed for either
συγγνώμης ἔτυχον ἢ μικροῖς ἐζημιώθησαν, οἱ δ' ἅρδην
pardon got or with-small were-penalized the-others but utterly
ἀπόλλυνται, καὶ πλείους ἂν εὕροιμεν τοὺς ἐκ τῶν ὄντων
are-ruined and more — we-would-find the-ones from the property
ἐκπεπτωκότας ἢ τοὺς δίκην ὑπὲρ τῶν ἁμαρτημάτων
expelled than the-ones penalty for the misdeeds
δεδωκότας.
having-paid

161 καὶ τί δεῖ λέγειν περὶ τῶν κοινῶν; αὐτὸς γὰρ οὐ
and why is-it-necessary to-speak about the public-affairs myself for not
μικρὸν διήμαρτον διὰ ταύτην τὴν μεταβολὴν τῶν ἐμαυτοῦ
small I-erred through this the change of-the my-own
πραγμάτων. ὅτε γὰρ ἐπαμύνειν ἠρχόμην τοῖς ἰδίοις,
affairs when for to-defend I-was-beginning the own-affairs
ἀπολομένων ἐν τῷ πολέμῳ τῷ πρὸς Λακεδαιμονίους
having-been-lost in the war the against Lacedaemonians
ἁπάντων τῶν ὑπαρχόντων ἡμῖν, ἀφ' ὧν ὁ πατὴρ ἅμα
all the existing to-us from which the father at-once
τῇ τε πόλει χρήσιμον αὑτὸν παρεῖχεν, ἡμᾶς θ' οὕτως
to-the both city useful himself made us and so
ἐπιμελῶς ἐπαίδευσεν ὥστ' ἐπιφανέστερον εἶναί με τότε καὶ
carefully educated that more-distinguished to-be me then and
γνωριμώτερον ἐν τοῖς ἡλικιώταις καὶ συμπαιδευομένοις
better-known among the age-mates and schoolfellows
ἢ νῦν ἐν τοῖς συμπολιτευομένοις —
than now among the fellow-citizens
162 ὅτε δ' οὖν, ὥσπερ εἶπον, ἠρχόμην πλησιάζειν τισίν, ᾠόμην,
when and then as I-said I-was-beginning to-associate with-some I-thought
εἰ δυνηθείην πλείω κτήσασθαι καὶ περιποιήσασθαι τῶν
if I-should-be-able more to-acquire and to-gain than-the-ones
ἐπὶ τὸν αὐτὸν βίον ὁρμησάντων, ἀμφότερα δόξειν,
to the same life having-set-out both to-be-going-to-seem
καὶ περὶ τὴν φιλοσοφίαν διαφέρειν καὶ κοσμιώτερον
both in the philosophy to-excel and more-orderly
βεβιωκέναι τῶν ἄλλων. ἐμοὶ δὲ τοὐναντίον ἀποβέβηκεν.
to-have-lived than-the others for-me but the-opposite has-turned-out
163 εἰ μὲν γὰρ μήτ' ἄξιος μηδενὸς ἐγενόμην μήτε περιεποιησάμην
if indeed for neither worthy of-anything I-had-become nor had-gained
μηδέν, οὐδεὶς ἄν μοι πράγματα παρεῖχεν, ἀλλὰ φανερῶς
anything no-one — me troubles would-make but openly

ἀδικῶν ἀσφαλῶς ἂν ἔζων ἕνεκά γε τῶν συκοφαντῶν·
doing-wrong safely — I-would-live for-the-sake at-least of-the sycophants
νῦν δ' ἀντὶ τῆς δόξης ἧς προσεδόκων ἀγῶνες περί
now but instead-of the reputation which I-expected contests about
με καὶ κίνδυνοι καὶ φθόνοι καὶ διαβολαὶ γεγόνασιν.
me and dangers and envies and slanders have-arisen
οὕτω γὰρ ἡ πόλις ἐν τῷ παρόντι χαίρει τοὺς μὲν ἐπιεικεῖς 164
so for the city in the present rejoices the indeed decent
πιέζουσα καὶ ταπεινοὺς ποιοῦσα, τοῖς δὲ πονηροῖς ἐξουσίαν
pressing and humble making to-the but wicked license
διδοῦσα καὶ λέγειν καὶ ποιεῖν ὅ τι ἂν βουληθῶσιν, ὥστε
giving both to-speak and to-do what ever — they-wish so-that
Λυσίμαχος μὲν ὁ προῃρημένος ζῆν ἐκ τοῦ συκοφαντεῖν
Lysimachus indeed the-one having-chosen to-live from the to-play-the-sycophant
καὶ κακῶς ἀεί τινα ποιεῖν τῶν πολιτῶν κατηγορήσων ἡμῶν
and harm always some to-do of-the citizens going-to-accuse us
ἀναβέβηκεν, ἐγὼ δ' ὃς οὐδὲ περὶ ἕνα πότ' ἐξήμαρτον,
has-mounted-the-platform I but who not-even against one ever erred
ἀλλὰ τῶν μὲν ἐνθένδε λημμάτων ἀπεσχόμην, παρὰ ξένων
but from-the indeed here gains kept-away from foreigners
δὲ καὶ νομιζόντων εὖ πάσχειν ἐπορισάμην τὰς ὠφελίας,
and also thinking well to-be-treated I-provided the benefits
ὡς δεινὰ ποιῶν εἰς τηλικουτονὶ καθέστηκα κίνδυνον.
as terrible-things doing into such-here I-have-come danger
καί τοι προσῆκε τοὺς εὖ φρονοῦντας εὔχεσθαι τοῖς θεοῖς 165
and yet it-befitted the-ones well thinking to-pray to-the gods
ὡς πλείστοις τῶν πολιτῶν παραγενέσθαι τὴν δύναμιν
that to-as-many-as-possible of-the citizens to-come the power
ταύτην, δι' ἣν ἔμελλον παρ' ἑτέρων λαμβάνοντες
this through which they-were-going from others receiving
χρησίμους αὑτούς, ὥσπερ ἐγώ, τῇ πόλει παρέξειν. πολλῆς
useful themselves as I to-the city to-furnish much

δ᾽ ἀλογίας περί με γεγενημένης πάντων ἂν συμβαίη
and unreason about me having-arisen of-all — it-would-happen
δεινότατον, εἰ οἱ μὲν δεδωκότες μοι χρήματα τοσαύτην
most-terrible if the-ones indeed having-given me money such
ἔχοιεν χάριν, ὥστ᾽ ἔτι καὶ νῦν με θεραπεύειν,
should-have gratitude that still also now me to-court
166 ὑμεῖς δ᾽, εἰς οὓς ἀνήλωκα τἀμαυτοῦ, δίκην ἐπιθυμήσαιτε
you but on whom I-have-spent my-own penalty should-desire
παρ᾽ ἐμοῦ λαβεῖν. ἔτι δὲ δεινότερον, εἰ Πίνδαρον μὲν τὸν
from me to-take further and more-terrible if Pindar indeed the
ποιητὴν οἱ πρὸ ἡμῶν γεγονότες ὑπὲρ ἑνὸς μόνον ῥήματος,
poet the-ones before us having-been for one only phrase
ὅτι τὴν πόλιν ἔρεισμα τῆς Ἑλλάδος ὠνόμασεν, οὕτως
that the city bulwark — of-Greece he-named so
ἐτίμησαν ὥστε καὶ πρόξενον ποιήσασθαι καὶ δωρεὰν μυρίας
honored that both proxenus to-make and as-a-gift ten-thousand
αὐτῷ δοῦναι δραχμάς, ἐμοὶ δὲ πολὺ πλείω καὶ κάλλιον
to-him to-give drachmas for-me but much more and finer
ἐγκεκωμιακότι καὶ τὴν πόλιν καὶ τοὺς προγόνους μηδ᾽
having-eulogized both the city and the ancestors not-even
ἀσφαλῶς ἐγγένοιτο ἐπιβιῶναι τὸν ἐπίλοιπον χρόνον.
safely it-should-be-granted to-live-out the remaining time
167 περὶ μὲν οὖν τούτων καὶ τῶν ἄλλων τῶν κατηγορηθέντων
about indeed then these-things and the other the charges
ἱκανὴν εἶναι νομίζω τὴν εἰρημένην ἀπολογίαν· οὐκ ὀκνήσω
sufficient to-be I-think the spoken defense not I-shall-shrink
δὲ πρὸς ὑμᾶς οὔθ᾽ ὡς ἔχω νῦν πρὸς τὸν ἐνεστῶτα
and toward you either how I-am now toward the present
κίνδυνον κατειπεῖν τὴν ἀλήθειαν, οὔθ᾽ ὡς τὸ πρῶτον
danger to-declare the truth or how at-the first

διετέθην πρὸς αὐτόν. ἐγὼ γὰρ ὑπὲρ μὲν τῶν ἰδίων
I-was-disposed toward it I for about indeed the private-matters
πολλὰς ἐλπίδας εἶχον καλῶς ἀγωνιεῖσθαι·
many hopes I-had well to-be-going-to-contend
καὶ γὰρ τοῖς βεβιωμένοις καὶ τοῖς πεπραγμένοις ἐπίστευον, 168
and for in-the life-lived and the deeds-done I-trusted
καὶ πολλοὺς λόγους καὶ δικαίους ᾤμην ἔχειν ὑπὲρ αὐτῶν·
and many arguments and just I-thought to-have for them
ὁρῶν δ' οὐ μόνον δυσκόλως διακειμένους περὶ τὴν τῶν
seeing but not only ill disposed toward the of-the
λόγων παιδείαν τοὺς εἰθισμένους ἅπασι χαλεπαίνειν,
speeches education the-ones accustomed with-all to-be-angry
ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν πολλοὺς τραχέως πρὸς
but also of-the other citizens many roughly toward
αὐτὴν διακειμένους, ἐφοβούμην μὴ τὰ μὲν ἴδιά μου
it disposed I-feared lest the indeed private-things my
παραμεληθῇ, τῆς δὲ κοινῆς τῆς περὶ τοὺς σοφιστὰς
be-disregarded of-the but common the about the sophists
διαβολῆς ἀπολαύσω τι φλαῦρον.
slander I-should-reap something mean
ἐπειδὴ δὲ χρόνων ἐγγιγνομένων εἰσέπεσον εἰς τὸ λογίζεσθαι 169
when but time passing I-fell into the to-reckon
καὶ σκοπεῖν τί χρήσομαι τοῖς παροῦσιν, ἐπαυσάμην τοῦ
and to-consider how I-shall-deal-with the present-things I-ceased-from the
δέους καὶ τῆς ταραχῆς ταύτης, οὐκ ἀλόγως, ἀλλ' ἐκ
fear and the confusion this not unreasonably but from
τῶν εἰκότων λογισάμενος καὶ παραμυθησάμενος ἐμαυτόν·
the probabilities having-reasoned and having-comforted myself
τούς τε γὰρ ἐπιεικεῖς ὑμῶν, πρὸς οὕς περ ἐγὼ ποιήσομαι 170
the-ones both for decent of-you to whom very I shall-make
τοὺς λόγους, ἠπιστάμην οὐκ ἐμμένοντας ταῖς δόξαις ταῖς
the speeches I-knew not abiding-by the opinions the

ἀδίκως ἐγγεγενημέναις, ἀλλ᾽ ἐπακολουθοῦντας ταῖς ἀληθείαις
unjustly implanted but following the truths
καὶ μεταπειθομένους ὑπὸ τῶν λεγόντων τὰ δίκαια, τήν
and being-persuaded-otherwise by the-ones saying the just-things the
τε φιλοσοφίαν ἐκ πολλῶν ἐνόμιζον ἐπιδείξειν ἀδίκως
both philosophy from many I-thought to-be-going-to-show unjustly
διαβεβλημένην, καὶ πολὺ ἂν δικαιοτέρως ἀγαπωμένην αὐτὴν
slandered and much — more-justly loved it
ἢ μισουμένην. ἔχω δὲ καὶ νῦν ἔτι ταύτην τὴν γνώμην.
than hated I-have and also now still this the opinion
171 οὐκ ἄξιον δὲ θαυμάζειν εἴ τι τῶν καλῶν ἐπιτηδευμάτων
not worthy and to-wonder if any of-the fine pursuits
ἠγνόηται καὶ διαλέληθεν, οὐδ᾽ εἰ διεψευσμένοι τινὲς αὐτοῦ
has-been-unknown and has-escaped-notice nor if mistaken some about-it
τυγχάνουσι· καὶ γὰρ περὶ ἡμῶν αὐτῶν καὶ περὶ ἄλλων
happen and for about us ourselves and about other
πραγμάτων ἀναριθμήτων οὕτως ἔχοντες ἂν εὑρεθεῖμεν. ἡ
affairs countless so being — we-would-be-found the
γὰρ πόλις ἡμῶν πολλῶν ἀγαθῶν αἰτία καὶ νῦν οὖσα καὶ
for city our of-many goods cause both now being and
πρότερον γεγενημένη καὶ τοῖς πολίταις καὶ τοῖς ἄλλοις
before having-been both to-the citizens and to-the other
Ἕλλησι, καὶ πολλῶν ἡδονῶν γέμουσα,
Greeks and of-many pleasures full
172 τοῦτ᾽ ἔχει δυσκολώτατον· διὰ γὰρ τὸ μέγεθος καὶ τὸ
this has most-troublesome because-of for the size and the
πλῆθος τῶν ἐνοικούντων οὐκ εὐσύνοπτός ἐστιν οὐδ᾽ ἀκριβής,
multitude of-the inhabitants not easily-surveyed it-is nor exact
ἀλλ᾽ ὥσπερ χειμάρρους, ὅπως ἂν ἕκαστον ὑπολαβοῦσα
but like a-torrent as — each having-caught-up
τύχῃ καὶ τῶν ἀνθρώπων καὶ τῶν πραγμάτων, οὕτω
it-chances both of-the men and of-the affairs so

κατήνεγκε, καὶ δόξαν ἐνίοις τὴν ἐναντίαν τῆς προσηκούσης
it-swept-along and reputation on-some the opposite of-the fitting
περιέθηκεν· ὅπερ καὶ τῇ παιδείᾳ ταύτῃ συμβέβηκεν.
it-has-put-on which-very also to-the education this has-happened
ὧν ἐνθυμουμένους χρὴ μηδενὸς πράγματος ἄνευ λόγου 173
which considering it-is-necessary no affair without reason
καταγιγνώσκειν, μηδ' ὁμοίως διακεῖσθαι δικάζοντας ὥσπερ
to-condemn nor alike to-be-disposed judging as
ἐν ταῖς ἰδίαις διατριβαῖς, ἀλλὰ διακριβοῦσθαι περὶ ἑκάστου
in the private pastimes but to-examine-closely about each
καὶ τὴν ἀλήθειαν ζητεῖν, μεμνημένους τῶν ὅρκων καὶ τῶν
and the truth to-seek remembering the oaths and the
νόμων καθ' οὓς συνεληλύθατε δικάσοντες· ἔστι δ' οὐ
laws according-to which you-have-come-together going-to-judge is and not
περὶ μικρῶν οὔθ' ὁ λόγος οὔθ' ἡ κρίσις ἐν ᾗ καθέσταμεν,
about small-things either the speech or the trial in which we-stand
ἀλλὰ περὶ τῶν μεγίστων· οὐ γὰρ περὶ ἐμοῦ μέλλετε
but about the greatest not for about me you-are-going
μόνον τὴν ψῆφον διοίσειν, ἀλλὰ καὶ περὶ ἐπιτηδεύματος
only the vote to-cast but also about a-pursuit
ᾧ πολλοὶ τῶν νεωτέρων προσέχουσι τὸν νοῦν.
to-which many of-the younger turn the mind

IX · THE NATURE OF HIS EDUCATION

If philosophy corrupts the young, all who teach it must be punished; but if it benefits, the slanderers should be punished instead. He wishes he had met this charge in his prime, for he cannot now speak worthily of philosophy, though he will try. As genealogists begin at the beginning, he begins with man's nature, made of body and soul. The ancestors devised two arts, gymnastics for the body and philosophy for the soul, counterparts that make the body more useful and the soul wiser. The trainers teach the positions; the teachers of philosophy teach the forms of discourse, then drill their pupils so that they come nearer to the right occasions in their

judgments. Success depends first on nature, then on training and on experience; nature counts most, and many with less nature but more practice become better than the gifted who neglect themselves. Education alone cannot make a good speaker of the untalented, and he turns to the speech he published when he began teaching, to show what he promised long ago.

174 οἶμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι τὰ πράγματα τῆς πόλεως
I-think and you not to-be-ignorant that the affairs of-the city
τοῖς ἐπιγιγνομένοις καὶ τοῖς τοιούτοις οἱ πρεσβύτεροι
to-the-ones coming-after and to-the such the older
παραδιδόασι. τοιαύτης οὖν ἀεὶ τῆς περιόδου γιγνομένης
hand-on such then always the cycle being
ἀναγκαῖόν ἐστιν, ὅπως ἂν οἱ νεώτεροι παιδευθῶσιν, οὕτω
necessary it-is as — the younger are-educated so
τὴν πόλιν πράττουσαν διατελεῖν· ὥστ' οὐ ποιητέον τοὺς
the city faring to-continue so-that not one-must-make the
συκοφάντας κυρίους τηλικούτου πράγματος, οὐδὲ τοὺς
sycophants masters of-so-great a-matter nor the-ones
μὲν μὴ διδόντας τούτοις ἀργύριον τιμωρητέον, παρ' ὧν
indeed not giving to-these money one-must-punish from whom
δ' ἂν λάβωσιν ἐατέον ποιεῖν ὅ τι ἂν βουληθῶσιν,
but — they-take one-must-allow to-do what ever — they-wish
175 ἀλλ' εἰ μὲν ἡ φιλοσοφία τοιαύτην ἔχει δύναμιν ὥστε
but if indeed the philosophy such has power as
διαφθείρειν τοὺς νεωτέρους, οὐ τοῦτον χρὴ μόνον
to-corrupt the younger not this-one it-is-necessary only
κολάζειν ὃν ἂν γράψηταί τις τούτων, ἀλλὰ πάντας
to-punish whom — indicts anyone of-these but all
ἐκποδὼν ποιεῖσθαι τοὺς περὶ τὴν διατριβὴν ταύτην
out-of-the-way to-put the-ones about the occupation this
ὄντας· εἰ δὲ τοὐναντίον πέφυκεν ὥστ' ὠφελεῖν καὶ
being if but the-opposite it-is-by-nature so-as to-benefit and

βελτίους ποιεῖν τοὺς πλησιάζοντας καὶ πλέονος ἀξίους,
better to-make the associates and of-more worth
τοὺς μὲν διαβεβλημένους πρὸς αὐτὴν παυστέον, τοὺς
the-ones indeed prejudiced against it one-must-stop the-ones
δὲ συκοφαντοῦντας ἀτιμητέον, τοῖς δὲ νεωτέροις
but playing-the-sycophant one-must-disfranchise to-the but younger
συμβουλευτέον ἐν ταύτῃ διατρίβειν μᾶλλον ἢ τοῖς ἄλλοις
one-must-advise in this to-spend-time more than in-the other
ἐπιτηδεύμασι.
pursuits
πρὸ πολλῶν δ' ἂν ἐποιησάμην, εἴπερ ἦν εἱμαρμένον 176
before much and — I-would-have-made if-indeed it-was fated
μοι φεύγειν τὴν γραφὴν ταύτην, ἀκμάζοντί μοι
for-me to-defend-against the indictment this in-my-prime for-me
προσπεσεῖν τὸν κίνδυνον· οὐ γὰρ ἂν ἠθύμουν, ἀλλὰ
to-have-befallen the danger not for — I-would-be-disheartened but
μᾶλλον οἷός τ' ἂν ἐγενόμην καὶ τὸν κατήγορον
more able — — I-would-have-become both the accuser
ἀμύνασθαι καὶ τῇ φιλοσοφίᾳ βοηθῆσαι· νῦν δὲ φοβοῦμαι
to-repel and the philosophy to-help now but I-fear
μὴ διὰ ταύτην ὑπὲρ ἄλλων πραγμάτων ἐπιεικῶς εἰρηκώς,
lest through this about other affairs reasonably having-spoken
περὶ αὐτῆς ταύτης χεῖρον τύχω διαλεχθεὶς ἢ περὶ ὧν
about itself this worse I-chance having-discoursed than about which
ἧττόν μοι σπουδάσαι προσῆκε.
less for-me to-be-earnest it-befitted
καίτοι δεξαίμην ἄν, εἰρήσεται γὰρ τἀληθὲς εἰ καὶ μωρὸς ὁ 177
and-yet I-would-accept — it-shall-be-said for the-truth if even foolish the
λόγος ἐστίν, ἤδη τελευτῆσαι τὸν βίον ἀξίως εἰπὼν τῆς
word is now to-end the life worthily having-spoken of-the
ὑποθέσεως καὶ πείσας ὑμᾶς τοιαύτην νομίζειν τὴν τῶν
subject and having-persuaded you such to-think the of-the

λόγων μελέτην οἵα πέρ ἐστι, μᾶλλον ἢ ζῆν πολυπλασίω
speeches practice as very it-is rather than to-live many-times-as-long
χρόνον ἐφορῶν οὕτως αὐτὴν ὥσπερ νῦν παρ᾽ ὑμῖν φερομένην.
time looking-on so it as now among you faring
178 τῆς μὲν οὖν ἐπιθυμίας οἶδ᾽ ὅτι πολὺ καταδεέστερον
of-the indeed then desire I-know that much inferior
ἐροῦμεν· ὅμως δ᾽ ὅπως ἂν δύνωμαι, πειράσομαι διελθεῖν
we-shall-speak nevertheless but as — I-can I-shall-try to-go-through
τήν τε φύσιν αὐτῆς καὶ τὴν δύναμιν ἣν ἔχει, καὶ ποίᾳ
the both nature of-it and the power which it-has and to-what
τῶν ἄλλων τεχνῶν ὁμοιοειδής ἐστι, καὶ τί τοὺς συνόντας
of-the other arts similar it-is and how the associates
ὠφελεῖ, καὶ ποίας τινὰς ποιούμεθα ἡμεῖς τὰς ὑποσχέσεις·
it-benefits and what-sort some we-make we the promises
οἶμαι γὰρ ὑμᾶς μαθόντας τὴν ἀλήθειαν ἄμεινον καὶ
I-think for you having-learned the truth better both
βουλεύσεσθαι καὶ διαγνώσεσθαι περὶ αὐτῆς.
to-be-going-to-deliberate and to-be-going-to-judge about it
179 ἀξιῶ δ᾽ ὑμᾶς, ἢν ἄρα φαίνωμαι λόγους διεξιὼν πολὺ
I-ask and you if then I-appear speeches going-through far
τῶν εἰθισμένων λέγεσθαι παρ᾽ ὑμῖν ἐξηλλαγμένους,
from-the-ones accustomed to-be-said among you differing
μὴ δυσχεραίνειν ἀλλ᾽ ἔχειν συγγνώμην, ἐνθυμουμένους ὅτι
not to-be-annoyed but to-have pardon considering that
τοὺς περὶ πραγμάτων ἀνομοίων τοῖς ἄλλοις ἀγωνιζομένους
the-ones about affairs unlike to-the others contending
ἀναγκαῖόν ἐστι καὶ τοῖς λόγοις τοιούτοις χρῆσθαι περὶ
necessary it-is also the speeches such to-use about
αὐτῶν. ὑπομείναντες οὖν τὸν τρόπον τῶν λεγομένων καὶ
them having-endured then the manner of-the things-said and
τὴν παρρησίαν, καὶ τὸν χρόνον ἐάσαντες ἀναλῶσαί με
the frankness and the time having-allowed to-spend me

τὸν δεδομένον ταῖς ἀπολογίαις, ὅπως ἂν ὑμῶν ἑκάστῳ
the given to-the defenses as — of-you to-each
δοκῇ δίκαιον εἶναι καὶ νόμιμον, οὕτω φέρετε τὴν ψῆφον.
it-seems just to-be and lawful so cast the vote
βούλομαι δὲ περὶ τῆς τῶν λόγων παιδείας ὥσπερ οἱ 180
I-wish and about the of-the speeches education as the-ones
γενεαλογοῦντες πρῶτον διελθεῖν πρὸς ὑμᾶς. ὁμολογεῖται
tracing-genealogies first to-go-through to you it-is-agreed
μὲν γὰρ τὴν φύσιν ἡμῶν ἔκ τε τοῦ σώματος συγκεῖσθαι
indeed for the nature of-us from both the body to-be-composed
καὶ τῆς ψυχῆς, αὐτοῖν δὲ τούτοιν οὐδεὶς ἔστιν ὅστις
and the soul of-the-very and of-these-two no-one is who
οὐκ ἂν φήσειεν ἡγεμονικωτέραν πεφυκέναι τὴν ψυχὴν καὶ
not — would-say more-fit-to-lead to-be-by-nature the soul and
πλέονος ἀξίαν· τῆς μὲν γὰρ ἔργον εἶναι βουλεύσασθαι
of-more worth of-the indeed for task to-be to-deliberate
καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν, τοῦ δὲ
both about the private-things and about the public-things of-the but
σώματος ὑπηρετῆσαι τοῖς ὑπὸ τῆς ψυχῆς γνωσθεῖσιν.
body to-serve the-things by the soul decided
οὕτω δὲ τούτων ἐχόντων ὁρῶντές τινες τῶν πολὺ 181
so and these being seeing some of-the-ones much
πρὸ ἡμῶν γεγονότων περὶ μὲν τῶν ἄλλων πολλὰς
before us having-been about indeed the other many
τέχνας συνεστηκυίας, περὶ δὲ τὸ σῶμα καὶ τὴν ψυχὴν
arts established about but the body and the soul
οὐδὲν τοιοῦτον συντεταγμένον, εὑρόντες διττὰς ἐπιμελείας
nothing such organized having-found double disciplines
κατέλιπον ἡμῖν, περὶ μὲν τὰ σώματα τὴν παιδοτριβικήν,
they-left to-us for indeed the bodies the trainer's-art

ἧς ἡ γυμναστικὴ μέρος ἐστί, περὶ δὲ τὰς ψυχὰς τὴν
of-which the gymnastic part is for but the souls the
φιλοσοφίαν, περὶ ἧς ἐγὼ μέλλω ποιεῖσθαι τοὺς λόγους,
philosophy about which I am-going to-make the speeches
182 ἀντιστρόφους καὶ σύζυγας καὶ σφίσιν αὐταῖς
counterparts and paired and with-them- -selves
ὁμολογουμένας, δι' ὧν οἱ προεστῶτες αὐτῶν
agreeing through which the-ones presiding-over them
τάς τε ψυχὰς φρονιμωτέρας καὶ τὰ σώματα χρησιμώτερα
the both souls wiser and the bodies more-useful
παρασκευάζουσιν, οὐ πολὺ διαστησάμενοι τὰς παιδείας
prepare not much having-separated the educations
ἀπ' ἀλλήλων, ἀλλὰ παραπλησίαις χρώμενοι καὶ ταῖς
from one-another but similar using both the
διδασκαλίαις καὶ ταῖς γυμνασίαις καὶ ταῖς ἄλλαις ἐπιμελείαις.
instructions and the exercises and the other cares
183 ἐπειδὰν γὰρ λάβωσι μαθητάς, οἱ μὲν παιδοτρίβαι τὰ
when for they-take pupils the indeed trainers the
σχήματα τὰ πρὸς τὴν ἀγωνίαν εὑρημένα τοὺς φοιτῶντας
positions the for the contest invented the-ones attending
διδάσκουσιν, οἱ δὲ περὶ τὴν φιλοσοφίαν ὄντες τὰς
teach the-ones but about the philosophy being the
ἰδέας ἁπάσας, αἷς ὁ λόγος τυγχάνει χρώμενος,
forms all which the speech happens using
184 διεξέρχονται τοῖς μαθηταῖς. ἐμπείρους δὲ τούτων ποιήσαντες
they-go-through for-the pupils experienced and in-these having-made
καὶ διακριβώσαντες ἐν τούτοις πάλιν γυμνάζουσιν αὐτούς,
and having-drilled in these again they-exercise them
καὶ πονεῖν ἐθίζουσι, καὶ συνείρειν καθ' ἓν ἕκαστον ὧν
and to-toil they-accustom and to-combine by one each of-what
ἔμαθον ἀναγκάζουσιν, ἵνα ταῦτα βεβαιότερον κατάσχωσι
they-learned they-compel so-that these-things more-firmly they-may-hold

καὶ τῶν καιρῶν ἐγγυτέρω ταῖς δόξαις γένωνται. τῷ μὲν
and of-the occasions nearer in-the judgments they-may-come by-the indeed
γὰρ εἰδέναι περιλαβεῖν αὐτοὺς οὐχ οἷόν τ' ἐστίν· ἐπὶ γὰρ
for to-know to-grasp them not possible — it-is in for
ἁπάντων τῶν πραγμάτων διαφεύγουσι τὰς ἐπιστήμας, οἱ
all the affairs escape the knowledges the-ones
δὲ μάλιστα προσέχοντες τὸν νοῦν καὶ δυνάμενοι θεωρεῖν τὸ
but most turning the mind and being-able to-observe the
συμβαῖνον ὡς ἐπὶ τὸ πολὺ πλειστάκις αὐτῶν τυγχάνουσι.
consequence as for the most-part most-often of-them hit
τοῦτον δὲ τὸν τρόπον ἐπιμελόμενοι καὶ παιδεύοντες μέχρι 185
this and the way taking-care and educating up-to
μὲν τοῦ γενέσθαι βελτίους αὐτοὺς αὑτῶν τοὺς μαθητὰς
indeed the to-become better them than-themselves the pupils
καὶ ἔχειν ἄμεινον, τοὺς μὲν τὰς διανοίας τοὺς δὲ τὰς
and to-be better the-ones indeed in-the minds the-ones but in-the
τῶν σωμάτων ἕξεις, ἀμφότεροι δύνανται προαγαγεῖν·
of-the bodies conditions both are-able to-advance
ἐκείνην δὲ τὴν ἐπιστήμην οὐδέτεροι τυγχάνουσιν ἔχοντες,
that but the knowledge neither happen having
δι' ἧς ἂν οἱ μὲν ἀθλητὰς οὓς βουληθεῖεν, οἱ
through which — the-ones indeed athletes whomever they-should-wish the-others
δὲ ῥήτορας ἱκανοὺς ποιήσαιεν, ἀλλὰ μέρος μὲν ἄν τι
but orators competent could-make but part indeed — some
συμβάλοιντο, τὸ δ' ὅλον αἱ δυνάμεις αὗται παραγίγνονται
they-could-contribute the but whole the powers these come-to
τοῖς καὶ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις διενεγκοῦσιν.
the-ones both by-the nature and by-the cares having-excelled
ὁ μὲν οὖν τύπος τῆς φιλοσοφίας τοιοῦτός τίς ἐστιν· 186
the indeed then outline of-the philosophy such some is
ἡγοῦμαι δ' ὑμᾶς μᾶλλον ἂν ἔτι καταμαθεῖν τὴν δύναμιν
I-think and you more — still to-learn the power

αὐτῆς, εἰ διέλθοιμι τὰς ὑποσχέσεις ἃς ποιούμεθα πρὸς
of-it if I-should-go-through the promises which we-make to
τοὺς πλησιάζειν ἡμῖν βουλομένους.
the-ones to-associate with-us wishing
187 λέγομεν γὰρ ὡς δεῖ τοὺς μέλλοντας διοίσειν ἢ
we-say for that it-is-necessary the-ones going to-excel either
περὶ τοὺς λόγους ἢ περὶ τὰς πράξεις ἢ περὶ τὰς ἄλλας
about the speeches or about the actions or about the other
ἐργασίας πρῶτον μὲν πρὸς τοῦτο πεφυκέναι καλῶς,
works first indeed for this to-be-endowed well
πρὸς ὃ ἂν προῃρημένοι τυγχάνωσιν, ἔπειτα παιδευθῆναι
for what — having-chosen they-happen then to-be-educated
καὶ λαβεῖν τὴν ἐπιστήμην, ἥτις ἂν ᾖ περὶ ἑκάστου,
and to-get the knowledge whatever — may-be about each
τρίτον ἐντριβεῖς γενέσθαι καὶ γυμνασθῆναι περὶ τὴν χρείαν
third practiced to-become and to-be-exercised about the use
καὶ τὴν ἐμπειρίαν αὐτῶν· ἐκ τούτων γὰρ ἐν ἁπάσαις
and the experience of-them from these for in all
ταῖς ἐργασίαις τελείους γίγνεσθαι καὶ πολὺ διαφέροντας
the works perfect to-become and much excelling
τῶν ἄλλων. εἶναι δὲ τούτων προσῆκον ἑκατέροις,
the others to-be and of-these befitting to-each-of-the-two
188 τοῖς τε διδάσκουσι καὶ τοῖς μανθάνουσιν, ἴδιον
to-the-ones both teaching and to-the-ones learning peculiar
μὲν τοῖς μὲν εἰσενέγκασθαι τὴν φύσιν οἵαν δεῖ,
indeed for-the-ones indeed to-contribute the nature such-as is-needed
τοῖς δὲ δύνασθαι παιδεῦσαι τοὺς τοιούτους, κοινὸν δ'
for-the-ones but to-be-able to-educate the such common but
ἀμφοτέρων τὸ περὶ τὴν ἐμπειρίαν γυμνάσιον· δεῖν
of-both the about the experience exercise to-be-necessary

γὰρ τοὺς μὲν ἐπιμελῶς ἐπιστατῆσαι τοῖς παιδευομένοις,
for the-ones indeed carefully to-supervise the-ones being-educated
τοὺς δ' ἐγκρατῶς ἐμμεῖναι τοῖς προσταττομένοις.
the-ones but steadfastly to-abide-by the-things prescribed
ταῦτα μὲν οὖν ἐστιν ἃ κατὰ πασῶν λέγομεν τῶν 189
these-things indeed then are which about all we-say the
τεχνῶν· εἰ δὲ δή τις ἀφέμενος τῶν ἄλλων ἔροιτό με
arts if but indeed anyone having-let-go the others should-ask me
τί τούτων μεγίστην ἔχει δύναμιν πρὸς τὴν τῶν λόγων
which of-these greatest has power toward the of-the speeches
παιδείαν, ἀποκριναίμην ἂν ὅτι τὸ τῆς φύσεως ἀνυπέρβλητόν
education I-would-answer — that the of-the nature unsurpassable
ἐστι καὶ πολὺ πάντων διαφέρει· τὸν γὰρ ἔχοντα τὴν
is and much of-all excels the-one for having the
μὲν ψυχὴν εὑρεῖν καὶ μαθεῖν καὶ πονῆσαι καὶ μνημονεῦσαι
indeed soul to-find and to-learn and to-toil and to-remember
δυναμένην, τὴν δὲ φωνὴν καὶ τὴν τοῦ στόματος σαφήνειαν
able the but voice and the of-the mouth clearness
τοιαύτην ὥστε μὴ μόνοις τοῖς λεγομένοις ἀλλὰ καὶ ταῖς
such that not only by-the things-said but also by-the
τούτων εὐαρμοστίαις συμπείθειν τοὺς ἀκούοντας,
of-these harmonies to-persuade the hearers
ἔτι δὲ τὴν τόλμαν μὴ τὴν ἀναισχυντίας σημεῖον 190
further and the boldness not the of-shamelessness sign
γιγνομένην, ἀλλὰ τὴν μετὰ σωφροσύνης οὕτω
becoming but the-one with self-control so
παρασκευάζουσαν τὴν ψυχὴν ὥστε μηδὲν ἧττον θαρρεῖν
preparing the soul that in-nothing less to-be-confident
ἐν δὴ πᾶσι τοῖς πολίταις τοὺς λόγους ποιούμενον
among indeed all the citizens the speeches making
ἢ πρὸς αὑτὸν διανοούμενον, τίς οὐκ οἶδεν ὅτι τυχὼν
than toward himself reflecting who not knows that having-got

ὁ τοιοῦτος παιδείας μὴ τῆς ἀπηκριβωμένης, ἀλλὰ τῆς
the such-man education not the exact but the
ἐπιπολαίου καὶ πᾶσι κοινῆς, τοιοῦτος ἂν εἴη ῥήτωρ
superficial and to-all common such — would-be orator
οἷος οὐκ οἶδ' εἴ τις τῶν Ἑλλήνων γέγονεν;
as not I-know if anyone of-the Greeks has-been
191 καὶ μὲν δὴ κἀκείνους ἴσμεν, τοὺς καταδεεστέραν μὲν
and indeed now also-those we-know the-ones inferior indeed
τούτων τὴν φύσιν ἔχοντας, ταῖς δ' ἐμπειρίαις καὶ ταῖς
than-these the nature having in-the but experiences and in-the
ἐπιμελείαις προέχοντας, ὅτι γίγνονται κρείττους οὐ μόνον
cares excelling that they-become better not only
αὑτῶν ἀλλὰ καὶ τῶν εὖ μὲν πεφυκότων λίαν δ'
than-themselves but also than-the-ones well indeed endowed too but
αὑτῶν κατημεληκότων· ὥσθ' ἑκάτερόν τε τούτων δεινὸν ἂν
themselves having-neglected so-that each both of-these clever —
καὶ λέγειν καὶ πράττειν ποιήσειεν, ἀμφότερά τε γενόμενα
both to-speak and to-act would-make both and having-arisen
περὶ τὸν αὐτὸν ἀνυπέρβλητον ἂν τοῖς ἄλλοις ἀποτελέσειεν.
in the same unsurpassable — than-the others would-render
192 περὶ μὲν οὖν τῆς φύσεως καὶ τῆς ἐμπειρίας ταῦτα
about indeed then the nature and the experience these-things
γιγνώσκω· περὶ δὲ τῆς παιδείας οὐκ ἔχω τοιοῦτον λόγον
I-judge about but the education not I-have such word
εἰπεῖν· οὔτε γὰρ ὁμοίαν οὔτε παραπλησίαν ἔχει τούτοις
to-say neither for like nor similar it-has to-these
τὴν δύναμιν. εἰ γάρ τις διακούσειεν ἅπαντα τὰ
the power if for anyone should-hear-through all the-things
περὶ τοὺς λόγους καὶ διακριβωθείη μᾶλλον τῶν ἄλλων,
about the speeches and should-master-exactly more than-the others
λόγων μὲν ποιητὴς τυχὸν ἂν χαριέστερος γένοιτο
of-speeches indeed composer perhaps — more-graceful would-become

τῶν πολλῶν, εἰς ὄχλον δὲ καταστάς, τούτου μόνον
than-the many into crowd but having-stood of-this only
ἀποστερηθείς, τοῦ τολμᾶν, οὐδ' ἂν φθέγξασθαι δυνηθείη.
having-been-deprived the to-dare not-even — to-utter would-be-able
καὶ μηδεὶς οἰέσθω με πρὸς μὲν ὑμᾶς συστέλλειν τὴν 193
and no-one let-think me toward indeed you to-draw-in the
ὑπόσχεσιν, ἐπειδὰν δὲ διαλέγωμαι πρὸς τοὺς συνεῖναί μοι
promise when but I-converse with the-ones to-be-with me
βουλομένους, ἅπασαν ὑπ' ἐμαυτῷ ποιεῖσθαι τὴν δύναμιν·
wishing all under myself to-make the power
φεύγων γὰρ τὰς τοιαύτας αἰτίας, ὅτ' ἠρχόμην περὶ
fleeing for the such charges when I-was-beginning about
ταύτην εἶναι τὴν πραγματείαν, λόγον διέδωκα γράψας ἐν
this to-be the business a-speech I-published having-written in
ᾧ φανήσομαι τοῖς τε μείζους ποιουμένοις τὰς ὑποσχέσεις
which I-shall-appear the-ones both greater making the promises
ἐπιτιμῶν καὶ τὴν ἐμαυτοῦ γνώμην ἀποφαινόμενος.
rebuking and the my-own opinion declaring
ἃ μὲν οὖν κατηγορῶ τῶν ἄλλων παραλείψω· καὶ γάρ ἐστι 194
what indeed then I-accuse of-the others I-shall-pass-over and for it-is
πλείω τοῦ καιροῦ τοῦ παρόντος· ἃ δ' αὐτὸς ἀποφαίνομαι,
more than-the occasion the present what but myself I-declare
πειράσομαι διελθεῖν ὑμῖν. ἄρχομαι δ' ἐνθένδε ποθέν.
I-shall-try to-go-through to-you I-begin and from-here somewhere

Those passages say more elegantly what he says now, and they show that he does not promise too much. His opponents disagree among themselves: some call his education nonsense, others say it makes men too clever and corrupts them, and neither says anything sound. They demand of him what no other art achieves, though the most skilled master of any art is the one whose pupils work most alike, and his own pupils speak so much alike that all can see they share one education. If even private study improves men, so must a master with long experience. Men have arts to make horses, dogs, and most other animals braver, gentler, or wiser, and every year the crowds watch lions gentler to their keepers than some men to their benefactors, yet they deny that education can improve the soul. He will now speak for those who teach justly, and he asks what motives lead men to do wrong.

195 ταῦτα κομψοτέρως μὲν πέφρασται τῶν ἔμπροσθεν
these-things more-elegantly indeed have-been-expressed than-the before
εἰρημένων, βούλεται δὲ ταὐτὰ δηλοῦν ἐκείνοις. ὃ
said it-means but the-same-things to-show as-those which
χρὴ μέγιστον ὑμῖν γενέσθαι τεκμήριον τῆς ἐμῆς
it-is-necessary greatest to-you to-become proof of-the my
ἐπιεικείας· οὐ γάρ, ὅτε μὲν ἦν νεώτερος, ἀλαζονευόμενος
fairness not for when indeed I-was younger boasting
φαίνομαι καὶ μεγάλας τὰς ὑποσχέσεις ποιούμενος, ἐπειδὴ δ'
I-appear and great the promises making when but
ἀπολέλαυκα τοῦ πράγματος καὶ πρεσβύτερος γέγονα,
I-have-reaped-the-benefit of-the business and older I-have-become
τηνικαῦτα ταπεινὴν ποιῶν τὴν φιλοσοφίαν, ἀλλὰ τοῖς
then humble making the philosophy but the
αὐτοῖς λόγοις χρώμενος καὶ ἀκμάζων καὶ παυόμενος αὐτῆς,
same speeches using both in-my-prime and ceasing-from it
καὶ θαρρῶν καὶ κινδυνεύων, καὶ πρὸς τοὺς βουλομένους
and being-confident and being-in-danger and toward the-ones wishing

πλησιάζειν καὶ πρὸς τοὺς μέλλοντας περί μου τὴν ψῆφον
to-associate and toward the-ones going about me the vote
οἴσειν, ὥστ᾽ οὐκ οἶδ᾽ ὅπως ἄν τις ἀληθέστερος ἢ
to-cast so-that not I-know how — anyone truer or
δικαιότερος περὶ αὐτὴν ἐπιδειχθείη γεγενημένος.
more-just about it could-be-shown having-been
ταῦτα μὲν οὖν ἐκείνοις προσκείσθω τοῖς πρότερον περὶ 196
these-things indeed then to-those let-be-added the-things earlier about
ἡμῶν εἰρημένοις· οὐκ ἀγνοῶ δ᾽ ὅτι τοὺς δυσκόλως
us said not I-am-ignorant and that the-ones ill
διακειμένους οὐδέν πω τῶν εἰρημένων ἱκανόν ἐστιν
disposed nothing yet of-the things-said sufficient is
ἀπαλλάξαι τῆς διανοίας ταύτης, ἀλλὰ πολλῶν ἔτι
to-free from-the mind this but many still
δέονται λόγων καὶ παντοδαπῶν, εἰ μέλλουσιν ἑτέραν
they-need speeches and various if they-are-going another
μεταλήψεσθαι δόξαν ἀνθ᾽ ἧς νῦν τυγχάνουσιν ἔχοντες.
to-take-instead opinion instead-of which now they-happen having
δεῖ δὴ μηδ᾽ ἡμᾶς προαπειπεῖν διδάσκοντας καὶ 197
it-is-necessary then not-even us to-give-up-beforehand teaching and
λέγοντας, ἐξ ὧν, δυοῖν θάτερον, ἢ μεταστήσομεν τὰς
saying from which of-two the-other either we-shall-change the
γνώμας αὐτῶν, ἢ τὰς βλασφημίας καὶ κατηγορίας αἷς
opinions of-them or the slanders and accusations which
χρῶνται καθ᾽ ἡμῶν ἐξελέγξομεν ψευδεῖς οὔσας. εἰσὶ δὲ
they-use against us we-shall-prove false being they-are and
δίτται. λέγουσι γὰρ οἱ μὲν ὡς ἔστιν ἡ περὶ τοὺς
twofold they-say for the-ones indeed that it-is the about the
σοφιστὰς διατριβὴ φλυαρία καὶ φενακισμός· οὐδεμία γὰρ
sophists occupation nonsense and imposture no for
εὕρηται παιδεία τοιαύτη δι᾽ ἧς γένοιτό τις ἂν
has-been-found education such through which could-become anyone —

ἢ περὶ τοὺς λόγους δεινότερος ἢ περὶ τὰς πράξεις
either about the speeches cleverer or about the actions
φρονιμώτερος, ἀλλ᾽ οἱ προέχοντες ἐν τούτοις τῇ φύσει
wiser but the-ones excelling in these by-the nature
τῶν ἄλλων διαφέρουσιν·
from-the others differ
198 οἱ δὲ δεινοτέρους μὲν ὁμολογοῦσιν εἶναι τοὺς περὶ
the-ones but cleverer indeed they-agree to-be the-ones about
τὴν μελέτην ταύτην ὄντας, οὐ μὴν ἀλλὰ διαφθείρεσθαι
the practice this being not however but to-be-corrupted
καὶ γίγνεσθαι χείρους· ἐπειδὰν γὰρ λάβωσι δύναμιν, τοῖς
and to-become worse when for they-get power the
ἀλλοτρίοις ἐπιβουλεύειν. ὡς οὖν οὐδὲν ὑγιὲς οὐδ᾽ ἀληθὲς
others' to-plot-against since then nothing sound or true
οὐδέτεροι τούτων λέγουσι, πολλὰς ἐλπίδας ἔχω πᾶσι
either of-these say many hopes I-have to-all
φανερὸν ποιήσειν.
evident to-be-going-to-make
199 πρῶτον δ᾽ ἐνθυμήθητε περὶ τῶν φλυαρίαν φασκόντων
first and consider about the-ones nonsense saying
εἶναι τὴν παιδείαν, ὡς αὐτοὶ λίαν καταφανῶς ληροῦσι.
to-be the education how they-themselves very obviously babble
διασύρουσι μὲν γὰρ αὐτὴν ὡς οὐδὲν ὠφελεῖν δυναμένην ἀλλ᾽
they-disparage indeed for it as nothing to-benefit able but
ἀπάτην καὶ φενακισμὸν οὖσαν, ἀξιοῦσι δὲ τοὺς συνόντας
deceit and imposture being they-demand but the-ones associating
ἡμῖν εὐθὺς μὲν προσελθόντας διαφέρειν αὐτοὺς αὑτῶν,
with-us at-once indeed having-come to-excel themselves than-themselves
200 ὀλίγας δ᾽ ἡμέρας συνδιατρίψαντας σοφωτέρους ἐν τοῖς
few and days having-spent-time-with wiser in the
λόγοις καὶ κρείττους φαίνεσθαι τῶν καὶ ταῖς ἡλικίαις
speeches and better to-appear than-the-ones both in-the ages

καὶ ταῖς ἐμπειρίαις προεχόντων, ἐνιαυτὸν δὲ μόνον
and in-the experiences excelling a-year and only
παραμείναντας ῥήτορας ἅπαντας ἀγαθοὺς εἶναι καὶ τελέους
having-stayed orators all good to-be and perfect
καὶ μηδὲν φαυλοτέρους τοὺς ἀμελεῖς τῶν πονεῖν
and in-nothing worse the careless than-the-ones to-toil
ἐθελόντων μηδὲ τοὺς ἀφυεῖς τῶν τὰς ψυχὰς ἀνδρικὰς
willing nor the ungifted than-the-ones the souls manly
ἐχόντων.
having
καὶ ταῦτα προστάττουσιν οὔθ' ἡμῶν ἀκηκοότες τοιαύτας 201
and these-things they-prescribe neither us having-heard such
ποιουμένων τὰς ὑποσχέσεις, οὔτ' ἐν ταῖς ἄλλαις τέχναις
making the promises nor in the other arts
καὶ παιδείαις οὐδὲν ἑωρακότες τούτων συμβαῖνον, ἀλλὰ
and educations any having-seen of-these happening but
μόλις μὲν ἡμῖν τὰς ἐπιστήμας παραγιγνομένας, οὐχ
hardly indeed for-us the knowledges coming not
ὁμοίως δ' ἀλλήλοις ὅ τι ἂν μάθωμεν ἐξεργαζομένους,
alike and to-one-another what ever — we-learn working-out
ἀλλὰ δύο μὲν ἢ τρεῖς ἐξ ἁπάντων τῶν διδασκαλείων
but two indeed or three from all the schools
ἀγωνιστὰς γιγνομένους, τοὺς δ' ἄλλους ἐξ αὐτῶν ἰδιώτας
contestants becoming the but others from them private-men
ἀπαλλαττομένους.
departing
καί τοι πῶς οὐκ ἄφρονας εἶναι χρὴ νομίζειν τοὺς 202
and yet how not senseless to-be it-is-necessary to-think the-ones
τὰς δυνάμεις τὰς ἐν ταῖς ὁμολογουμέναις τῶν τεχνῶν
the powers the in the agreed of-the arts
οὐκ ἐνούσας, ταύτας ἀπαιτεῖν τολμῶντας παρὰ ταύτης
not being-in these to-demand daring from this

ἣν οὐκ εἶναί φασι, καὶ πλείους τὰς ὠφελείας ἀξιοῦντας
which not to-exist they-say and more the benefits thinking-fit
γίγνεσθαι παρὰ τῆς ἀπιστουμένης ὑφ' αὑτῶν ἢ παρὰ
to-arise from the-one distrusted by themselves than from
τῶν ἀκριβῶς εὑρῆσθαι δοκουσῶν;
the-ones exactly to-have-been-found seeming
203 χρὴ δὲ τοὺς νοῦν ἔχοντας οὐκ ἀνωμάλως ποιεῖσθαι
it-is-necessary and the-ones sense having not unevenly to-make
τὰς κρίσεις περὶ τῶν ὁμοίων πραγμάτων, οὐδ' ἀποδοκιμάζειν
the judgments about the like affairs nor to-reject
τὴν παιδείαν τὴν ταὐτὰ ταῖς πλείσταις τῶν τεχνῶν
the education the the-same-things as-the most of-the arts
ἀπεργαζομένην. τίς γὰρ οὐκ οἶδεν ὑμῶν πολλοὺς τῶν
accomplishing who for not knows of-you many of-the-ones
ὑπὸ τοῖς σοφισταῖς γενομένων οὐ φενακισθέντας οὐδ'
under the sophists having-been not deceived nor
οὕτω διατεθέντας ὡς οὗτοι λέγουσιν,
so disposed as these-men say
204 ἀλλὰ τοὺς μὲν αὐτῶν ἱκανοὺς ἀγωνιστὰς ἀποτελεσθέντας,
but the-ones indeed of-them competent contestants having-been-made
τοὺς δὲ παιδεύειν ἑτέρους δυνηθέντας, ὅσοι δ' αὐτῶν
the-ones but to-educate others having-become-able as-many-as but of-them
ἰδιωτεύειν ἐβουλήθησαν, ἔν τε ταῖς ὁμιλίαις χαριεστέρους
to-live-privately wished in both the conversations more-graceful
ὄντας ἢ πρότερον ἦσαν, τῶν τε λόγων κριτὰς καὶ
being than before they-were of-the both speeches judges and
συμβούλους ἀκριβεστέρους τῶν πλείστων γεγενημένους;
advisers more-exact than-the most having-become
ὥστε πῶς χρὴ τῆς τοιαύτης διατριβῆς καταφρονεῖν, τῆς
so-that how it-is-necessary of-the such occupation to-despise the
τοὺς κεχρημένους αὐτῇ τοιούτους παρασκευάζειν δυναμένης;
the-ones having-used it such to-render able

ἀλλὰ μὴν καὶ τόδε πάντες ἂν ὁμολογήσαιεν, ὅτι τούτους 205
but truly also this all — would-agree that these
τεχνικωτάτους εἶναι νομίζομεν ἐπὶ πασῶν τῶν τεχνῶν
most-skilled to-be we-think in all the arts
καὶ χειρουργιῶν, οἵ τινες ἂν τοὺς μαθητὰς ὡς οἷόν
and handicrafts who ever — the pupils as possible
θ' ὁμοιοτάτους ἐργάτας ἀλλήλοις ἀποδείξωσι. τῇ τοίνυν
— most-alike workers to-one-another show in-the then
φιλοσοφίᾳ φανήσεται καὶ τοῦτο συμβεβηκός.
philosophy will-appear also this having-happened
ὅσοι γὰρ ἡγεμόνος ἔτυχον ἀληθινοῦ καὶ νοῦν ἔχοντος, 206
as-many-as for a-leader got genuine and sense having
εὑρεθεῖεν ἂν ἐν τοῖς λόγοις οὕτως ὁμοίαν τὴν δύναμιν
would-be-found — in the speeches so similar the power
ἔχοντες ὥστε πᾶσιν εἶναι φανερὸν ὅτι τῆς αὐτῆς παιδείας
having that to-all to-be evident that of-the same education
μετεσχήκασι. καί τοι μηδενὸς ἔθους αὐτοῖς ἐγγενομένου
they-have-shared and yet no habit to-them having-been-implanted
κοινοῦ μηδὲ διατριβῆς τεχνικῆς ὑπαρξάσης οὐκ ἔστιν ὅπως
common nor occupation artistic having-existed not it-is how
ἂν εἰς τὴν ὁμοιότητα ταύτην κατέστησαν.
— into the likeness this they-would-have-come
ἔτι τοίνυν ὑμῶν αὐτῶν οὐδεὶς ἔστιν ὅστις οὐκ ἂν εἰπεῖν 207
further then of-you yourselves no-one there-is who not — to-name
ἔχοι πολλοὺς τῶν συμπαιδευθέντων, οἳ παῖδες μὲν ὄντες
could many of-the-ones schooled-with-him who children indeed being
ἀμαθέστατοι τῶν ἡλικιωτῶν ἔδοξαν εἶναι, πρεσβύτεροι δὲ
most-ignorant of-the age-mates seemed to-be older but
γενόμενοι πλέον διήνεγκαν πρὸς τὸ φρονεῖν καὶ λέγειν
having-become more excelled for the to-think and to-speak
τῶν αὐτῶν τούτων ὧν παῖδες ὄντες ἀπελείφθησαν. ὅθεν
than-the same these by-whom children being they-were-left-behind whence

μάλιστ᾽ ἄν τις γνοίη τὴν ἐπιμέλειαν ὅσην ἔχει δύναμιν·
most — anyone could-know the care how-much it-has power
δῆλον γὰρ ὅτι τότε μὲν ἅπαντες τοιαύταις ἐχρῶντο ταῖς
clear for that then indeed all such used the
διανοίαις οἵας περ ἐξ ἀρχῆς ἔφυσαν ἔχοντες, ἄνδρες δὲ
minds as very from beginning they-were-born having men but
γενόμενοι τούτων διήνεγκαν καὶ μετήλλαξαν τὴν φρόνησιν
having-become of-these they-differed and changed the intelligence
τῷ τοὺς μὲν ἐκκεχυμένως ζῆν καὶ ῥᾳθύμως, τοὺς δὲ
by-the the-ones indeed loosely to-live and idly the-ones but
τοῖς τε πράγμασι καὶ σφίσιν αὐτοῖς προσέχειν τὸν νοῦν.
to-the both affairs and them- -selves to-turn the mind
208 ὅπου δὲ καὶ διὰ τὰς αὑτῶν ἐπιμελείας γίγνονταί τινες
where and even through the their-own cares become some
βελτίους, πῶς οὐκ ἂν οὗτοι λαβόντες ἐπιστάτην καὶ
better how not — these having-got a-master both
πρεσβύτερον καὶ πολλῶν πραγμάτων ἔμπειρον, καὶ τὰ
older and of-many affairs experienced and the-things
μὲν παρειληφότα τὰ δ᾽ αὐτὸν εὑρηκότα, πολὺ ἂν ἔτι
indeed having-received the-things but himself having-found much — still
πλέον καὶ σφῶν αὐτῶν καὶ τῶν ἄλλων διήνεγκαν;
more both than-them- -selves and than-the others would-have-excelled
209 οὐ μόνον δ᾽ ἐκ τούτων ἀλλὰ καὶ τῶν λοιπῶν εἰκότως
not only and from these but also from-the remaining-things reasonably
ἂν ἅπαντες τὴν ἄγνοιαν θαυμάσειαν τῶν τολμώντων
— all the ignorance would-wonder-at of-the-ones daring
οὕτως εἰκῇ καταφρονεῖν τῆς φιλοσοφίας· πρῶτον μὲν εἰ
so at-random to-despise the philosophy first indeed if
πάσας τὰς πράξεις καὶ τὰς τέχνας εἰδότες ταῖς μελέταις
all the actions and the arts knowing by-the practices

καὶ ταῖς φιλοπονίαις ἁλισκομένας πρὸς τὴν τῆς φρονήσεως
and the industries being-mastered for the of-the wisdom
ἄσκησιν ταῦτα μηδεμίαν ἡγοῦνται δύναμιν ἔχειν,
training these no they-think power to-have
ἔπειτ᾽ εἰ τῶν μὲν σωμάτων μηδὲν οὕτως ἂν φήσαιεν 210
then if of-the indeed bodies none so — they-would-say
εἶναι φαῦλον, ὅ τι γυμνασθὲν καὶ πονῆσαν οὐκ ἂν
to-be poor what ever exercised and having-toiled not —
εἴη βέλτιον, τὰς δὲ ψυχὰς τὰς ἄμεινον πεφυκυίας τῶν
would-be better the but souls the better endowed than-the
σωμάτων μηδὲν ἂν νομίζουσι γενέσθαι σπουδαιοτέρας
bodies none — they-think to-become more-excellent
παιδευθείσας καὶ τυχούσας τῆς προσηκούσης ἐπιμελείας·
having-been-educated and having-got the fitting care
ἔτι δ᾽ εἰ περὶ τοὺς ἵππους καὶ τοὺς κύνας καὶ τὰ πλεῖστα 211
further and if about the horses and the dogs and the most
τῶν ζώων ὁρῶντες τέχνας ἔχοντάς τινας, αἷς τὰ μὲν
of-the animals seeing arts having some by-which the-ones indeed
ἀνδρειότερα τὰ δὲ πραότερα τὰ δὲ φρονιμώτερα
braver the-others but gentler the-others but wiser
ποιοῦσι, περὶ τὴν τῶν ἀνθρώπων φύσιν μηδεμίαν οἴονται
they-make for the of-the men nature no they-think
τοιαύτην εὑρῆσθαι παιδείαν, ἥ τις ἂν αὐτοὺς ἐπί
such to-have-been-found education which ever — them toward
τι τούτων ὧν περ καὶ τὰ θηρία δυνηθείη προαγαγεῖν,
any of-these to-which very also the beasts could-be-able to-advance
ἀλλὰ τοσαύτην ἁπάντων ἡμῶν ἀτυχίαν κατεγνώκασιν, ὥσθ᾽ 212
but such of-all us misfortune they-have-condemned that
ὁμολογήσειαν μὲν ἂν ταῖς ἡμετέραις διανοίαις ἕκαστον
they-would-agree indeed — by-the our intelligences each
τῶν ὄντων βέλτιον γίγνεσθαι καὶ χρησιμώτερον, αὐτοὺς
of-the things-that-are better to-become and more-useful ourselves

δ᾽ ἡμᾶς τοὺς ἔχοντας τὴν φρόνησιν ταύτην, ᾗ πάντα
but us the-ones having the wisdom this by-which all-things
πλέονος ἄξια ποιοῦμεν, τολμῶσι λέγειν ὡς οὐδὲν ἂν
of-more worth we-make they-dare to-say that in-nothing —
ἀλλήλους πρὸς ἐπιείκειαν εὐεργετήσαιμεν.
one-another toward decency we-could-benefit
213 ὃ δὲ πάντων δεινότατον, ὅτι καθ᾽ ἕκαστον τὸν ἐνιαυτὸν
what and of-all most-terrible that by each the year
θεωροῦντες ἐν τοῖς θαύμασι τοὺς μὲν λέοντας πραότερον
watching in the shows the indeed lions more-gently
διακειμένους πρὸς τοὺς θεραπεύοντας ἢ τῶν ἀνθρώπων
disposed toward the-ones tending than of-the men
ἔνιοι πρὸς τοὺς εὖ ποιοῦντας, τὰς δ᾽ ἄρκτους καλινδουμένας
some toward the-ones well doing the but bears rolling
καὶ παλαιούσας καὶ μιμουμένας τὰς ἡμετέρας ἐπιστήμας,
and wrestling and imitating the our skills
214 οὐδ᾽ ἐκ τούτων δύνανται γνῶναι τὴν παιδείαν καὶ τὴν
not-even from these are-they-able to-know the education and the
ἐπιμέλειαν ὅσην ἔχει δύναμιν, οὐδ᾽ ὅτι ταῦτα πολὺ ἂν
care how-much it-has power nor that these-things much —
θᾶττον τὴν ἡμετέραν φύσιν ἢ τὴν ἐκείνων ὠφελήσειεν·
more-quickly the our nature than the of-them would-benefit
ὥστ᾽ ἀπορῶ πότερον ἄν τις δικαιότερον θαυμάσειε
so-that I-am-at-a-loss whether — anyone more-justly should-wonder-at
τὰς πραότητας τὰς τοῖς χαλεπωτάτοις τῶν θηρίων
the gentlenesses the in-the most-savage of-the beasts
ἐγγιγνομένας ἢ τὰς ἀγριότητας τὰς ἐν ταῖς ψυχαῖς τῶν
implanted or the savageries the in the souls of-the
τοιούτων ἀνθρώπων ἐνούσας.
such men being

ἔχοι δ' ἄν τις πλείω περὶ τούτων εἰπεῖν· ἀλλὰ γὰρ 215
could-have and — anyone more about these-things to-say but for
ἦν πολλὰ λίαν λέγω περὶ τῶν παρὰ τοῖς πλείστοις
if many-things too I-say about the-things among the most
ὁμολογουμένων, δέδοικα μὴ περὶ τῶν ἀμφισβητουμένων
agreed I-fear lest about the-things disputed
ἀπορεῖν δόξω. παυσάμενος οὖν τούτων ἐπ' ἐκείνους
to-be-at-a-loss I-may-seem having-ceased then from-these to those
τρέψομαι, τοὺς οὐ καταφρονοῦντας μὲν τῆς φιλοσοφίας,
I-shall-turn the-ones not despising indeed the philosophy
πολὺ δὲ πικρότερον κατηγοροῦντας αὐτῆς, καὶ μεταφέροντας
much but more-bitterly accusing it and transferring
τὰς πονηρίας τὰς τῶν φασκόντων μὲν εἶναι σοφιστῶν
the wickednesses the of-the-ones claiming indeed to-be sophists
ἄλλο δέ τι πραττόντων ἐπὶ τοὺς οὐδὲν τῶν αὐτῶν
other but something doing on-to the-ones nothing of-the same
ἐκείνοις ἐπιτηδεύοντας.
as-those practicing
ἐγὼ δ' οὐχ ὑπὲρ ἁπάντων τῶν προσποιουμένων 216
I but not on-behalf-of all the-ones pretending
δύνασθαι παιδεύειν ποιοῦμαι τοὺς λόγους, ἀλλ' ὑπὲρ
to-be-able to-educate I-make the speeches but on-behalf-of
τῶν δικαίως τὴν δόξαν ταύτην ἐχόντων. οἶμαι δὲ
the-ones justly the reputation this having I-think and
σαφῶς ἐπιδείξειν τοὺς κατηγοροῦντας ἡμῶν πολὺ τῆς
clearly to-be-going-to-show the-ones accusing us far from-the
ἀληθείας διημαρτηκότας, ἤν περ ἐθελήσητε διὰ τέλους
truth having-missed if very you-be-willing through end
ἀκοῦσαι τῶν λεγομένων.
to-hear the things-said

217 πρῶτον μὲν οὖν ὁρίσασθαι δεῖ τίνων ὀρεγόμενοι
first indeed then to-define it-is-necessary what reaching-for
καὶ τίνος τυχεῖν βουλόμενοι τολμῶσί τινες ἀδικεῖν· ἢν
and what to-obtain wishing dare some to-do-wrong if
γὰρ ταῦτα καλῶς περιλάβωμεν, ἄμεινον γνώσεσθε τὰς
for these-things well we-grasp better you-will-know the
αἰτίας τὰς καθ' ἡμῶν λεγομένας, εἴτ' ἀληθεῖς εἰσιν εἴτε
charges the against us spoken whether true they-are or
ψευδεῖς. ἐγὼ μὲν οὖν ἡδονῆς ἢ κέρδους ἢ τιμῆς ἕνεκα
false I indeed then of-pleasure or gain or honor for-the-sake
φημὶ πάντας πάντα πράττειν· ἔξω γὰρ τούτων οὐδεμίαν
I-say all all-things to-do outside for these no
ἐπιθυμίαν ὁρῶ τοῖς ἀνθρώποις ἐγγιγνομένην.
desire I-see in-the men arising

XI · NO TEACHER PROFITS BY CORRUPTION

Men do wrong for pleasure, gain, or honor, and a sophist who corrupted his pupils would win none of them: he would be despised, while his finest reward is a pupil who becomes fine and good. The wicked do not seek a teacher of wickedness, and men do not sail from Sicily and the Pontus and pay large fees to be made worse. His foreigners live frugally and quietly, and his pupils love speeches esteemed among all men, not those on private contracts. If eloquence made men plotters, all good speakers would be sycophants; instead the best statesmen were those most devoted to speech: Solon, Cleisthenes, Themistocles, who persuaded the ancestors to leave the city, and Pericles, who adorned it with temples and dedications. The court lists show Lysimachus and his friends many times and Isocrates' pupils never, and fathers bring their sons to him while the sycophants slander him.

218 εἰ δὴ ταῦθ' οὕτως ἔχει, λοιπόν ἐστι σκέψασθαι τί
if indeed these-things so are remaining it-is to-consider what
τούτων ἂν ἡμῖν γίγνοιτο διαφθείρουσι τοὺς νεωτέρους. πότερ'
of-these — to-us would-come corrupting the younger whether

ἂν ἡσθείημεν ὁρῶντες ἢ καὶ πυνθανόμενοι πονηροὺς
— we-should-be-pleased seeing or even learning wicked
αὐτοὺς ὄντας καὶ δοκοῦντας τοῖς συμπολιτευομένοις; καὶ
them being and seeming to-the fellow-citizens and
τίς οὕτως ἐστὶν ἀναίσθητος ὅστις οὐκ ἂν ἀλγήσειε
who so is insensible who not — would-be-pained
τοιαύτης διαβολῆς περὶ αὑτὸν γιγνομένης;
such slander about himself arising
ἀλλὰ μὴν οὐδ' ἂν θαυμασθεῖμεν οὐδὲ τιμῆς μεγάλης 219
but truly not-even — we-would-be-admired nor honor great
τύχοιμεν τοιούτους τοὺς συνόντας ἀποπέμποντες, ἀλλὰ
we-would-obtain such the associates sending-away but
πολὺ ἂν μᾶλλον καταφρονηθεῖμεν καὶ μισηθεῖμεν τῶν
much — more we-would-be-despised and we-would-be-hated than-the-ones
ταῖς ἄλλαις πονηρίαις ἐνόχων ὄντων. καὶ μὴν οὐδ' εἰ
with-the other wickednesses liable being and truly not-even if
ταῦτα παρίδοιμεν, χρήματα πλεῖστ' ἂν λάβοιμεν οὕτω
these-things we-should-overlook money most — we-would-get so
παιδείας προεστῶτες.
of-education presiding
οἶμαι γὰρ δήπου τοῦτό γε πάντας γιγνώσκειν, ὅτι σοφιστῇ 220
I-think for surely this at-least all to-know that for-a-sophist
μισθὸς κάλλιστός ἐστι καὶ μέγιστος, ἢν τῶν μαθητῶν τινες
pay finest is and greatest if of-the pupils some
καλοὶ κἀγαθοὶ καὶ φρόνιμοι γένωνται καὶ παρὰ τοῖς πολίταις
fine and-good and wise become and among the citizens
εὐδοκιμοῦντες· οἱ μὲν γὰρ τοιοῦτοι πολλοὺς μετασχεῖν
well-reputed the-ones indeed for such many to-share
τῆς παιδείας εἰς ἐπιθυμίαν καθιστᾶσιν, οἱ δὲ πονηροὶ
of-the education into desire put the-ones but wicked
καὶ τοὺς πρότερον συνεῖναι διανοουμένους ἀποτρέπουσιν.
even the-ones before to-associate intending turn-away

ὥστε τίς ἂν ἐν τούτοις τὸ κρεῖττον ἀγνοήσειεν, οὕτω
so-that who — in these the better would-fail-to-know so
μεγάλην τὴν διαφορὰν τῶν πραγμάτων ἐχόντων;
great the difference of-the affairs having
221 ἴσως οὖν ἄν τις πρὸς ταῦτα τολμήσειεν εἰπεῖν ὡς
perhaps then — anyone to these-things would-dare to-say that
πολλοὶ τῶν ἀνθρώπων διὰ τὰς ἀκρασίας οὐκ ἐμμένουσι
many of-the men because-of the incontinences not abide-by
τοῖς λογισμοῖς, ἀλλ' ἀμελήσαντες τοῦ συμφέροντος ἐπὶ
the reasonings but having-neglected the advantageous to
τὰς ἡδονὰς ὁρμῶσιν. ἐγὼ δ' ὁμολογῶ καὶ τῶν ἄλλων
the pleasures rush I and admit both of-the others
πολλοὺς καὶ τῶν προσποιουμένων εἶναι σοφιστῶν ἔχειν
many and of-the-ones pretending to-be sophists to-have
τινὰς τὴν φύσιν ταύτην,
some the nature this
222 ἀλλ' ὅμως οὐδὲ τῶν τοιούτων οὐδείς ἐστιν οὕτως
but nevertheless not-even of-the such anyone is so
ἀκρατὴς ὅστις ἂν δέξαιτο καὶ τοὺς μαθητὰς εἶναι
incontinent who — would-accept also the pupils to-be
τοιούτους· τῶν μὲν γὰρ ἡδονῶν τῶν διὰ τὴν ἀκρασίαν
such of-the indeed for pleasures the through the incontinence
ἐκείνοις συμβαινουσῶν οὐκ ἂν δύναιτο μετασχεῖν, τῆς
for-those happening not — he-could-be-able to-share of-the
δὲ δόξης τῆς διὰ τὴν πονηρίαν γιγνομένης αὐτὸς ἂν
but reputation the through the wickedness arising himself —
τὸ πλεῖστον μέρος ἀπολαύσειεν. ἔπειτα τίνας ἂν καὶ
the greatest part would-reap then whom — also
διαφθείραιεν, καὶ τοὺς πῶς διακειμένους λάβοιεν ἂν
could-they-corrupt and the how disposed would-they-get —
μαθητάς; ἄξιον γὰρ καὶ ταῦτα διελθεῖν.
pupils worth for also these-things to-go-through

πότερον τοὺς ἤδη κακοήθεις ὄντας καὶ πονηρούς; καὶ 223
whether the-ones already ill-disposed being and wicked and
τίς ἄν, ἃ παρὰ τῆς αὑτοῦ φύσεως ἐπίσταται, ταῦτα
who — what from the his-own nature be-knows these-things
παρ' ἑτέρου μανθάνειν ἐπιχειρήσειεν; ἀλλὰ τοὺς ἐπιεικεῖς
from another to-learn would-attempt but the decent
καὶ χρηστῶν ἐπιτηδευμάτων ἐπιθυμοῦντας; ἀλλ' οὐδ'
and of-good pursuits desirous but not-even
ἂν εἷς τῶν τοιούτων τοῖς κακόν τι λέγουσιν ἢ
— one of-the such with-the-ones bad something saying or
πράττουσι διαλεχθῆναι τολμήσειεν.
doing to-converse would-dare
ἡδέως δ' ἂν κἀκεῖνο πυθοίμην παρὰ τῶν χαλεπῶς 224
gladly and — that-too I-would-learn from the-ones harshly
ἐχόντων πρὸς ἡμᾶς, τίνα ποτὲ γνώμην ἔχουσι περὶ τῶν
disposed toward us what ever opinion they-have about the-ones
ἐκ Σικελίας καὶ τοῦ Πόντου καὶ τῶν ἄλλων τόπων δεῦρο
from Sicily and the Pontus and the other places hither
πλεόντων, ἵνα παιδευθῶσι. πότερον αὐτοὺς οἴονται
sailing so-that they-may-be-educated whether them they-think
σπανίζοντας ἐκεῖ πονηρῶν ἀνθρώπων ἐνθάδε ποιεῖσθαι τὴν
lacking there wicked men here to-make the
πορείαν; ἀλλὰ πανταχοῦ πολλὴν ἀφθονίαν εὕροι τις ἂν
journey but everywhere great abundance would-find anyone —
τῶν συμπονηρεύεσθαι καὶ συνεξαμαρτάνειν βουλομένων.
of-the-ones to-be-wicked-with and to-err-with wishing
ἀλλ' ἵνα κακοπράγμονες καὶ συκοφάνται γένωνται,
but so-that mischief-makers and sycophants they-may-become
πολλὰ χρήματα τελέσαντες; ἀλλὰ πρῶτον μὲν οἱ 225
much money having-paid but first indeed the-ones
ταύτην ἔχοντες τὴν γνώμην πολὺ ἂν ἥδιον τὰ τῶν
this having the opinion much — more-gladly the-things of-the

ἄλλων λάβοιεν ἢ δοῖεν ἑτέροις ὁτιοῦν τῶν σφετέρων
others would-take than give to-others anything of-the their
αὐτῶν· ἔτι δὲ τίνες ἂν ὑπὲρ πονηρίας ἀργύριον
own further and who — for wickedness money
ἀναλώσαιεν, ἐξὸν αὐτοῖς μηδὲν δαπανηθεῖσιν εἶναι
would-spend it-being-possible for-them nothing having-spent to-be
τοιούτοις, ὁπόταν βουληθῶσιν; οὐ γὰρ μαθεῖν ἀλλ᾽
such whenever they-wish not for to-learn but
ἐπιχειρῆσαι μόνον δεῖ τοῖς τοιούτοις τῶν ἔργων.
to-attempt only it-is-necessary for-the such of-the deeds
226 ἀλλὰ δῆλον ὅτι καὶ πλέουσι καὶ χρήματα διδόασι καὶ
but clear that both they-sail and money give and
πάντα ποιοῦσι νομίζοντες αὐτοί τε βελτίους γενήσεσθαι
all-things do thinking themselves both better to-be-going-to-become
καὶ τοὺς ἐνθάδε παιδεύοντας πολὺ φρονιμωτέρους εἶναι
and the-ones here educating much wiser to-be
τῶν παρὰ σφίσιν αὐτοῖς· ἐφ᾽ οἷς ἄξιον ἦν ἅπαντας
than-the-ones among them- -selves for which worthy it-was all
τοὺς πολίτας φιλοτιμεῖσθαι, καὶ περὶ πολλοῦ ποιεῖσθαι
the citizens to-take-pride and of much to-value
τοὺς αἰτίους τῇ πόλει τῆς δόξης ταύτης γενομένους.
the-ones causes for-the city of-the reputation this having-become
227 ἀλλὰ γὰρ οὕτω τινὲς ἀγνωμόνως ἔχουσιν ὥστ᾽ εἰδότες καὶ
but for so some unfeelingly are-disposed that knowing both
τοὺς ξένους τοὺς ἀφικνουμένους καὶ τοὺς προεστῶτας τῆς
the foreigners the arriving and the-ones presiding-over the
παιδείας οὐδὲν κακὸν ἐπιτηδεύοντας, ἀλλ᾽ ἀπραγμονεστάτους
education nothing bad practicing but most-unmeddlesome
μὲν ὄντας τῶν ἐν τῇ πόλει καὶ πλείστην ἡσυχίαν
indeed being of-the-ones in the city and most quiet

ἄγοντας, προσέχοντας δὲ τὸν νοῦν σφίσιν αὐτοῖς καὶ τὰς
leading turning but the mind to-them- -selves and the
συνουσίας μετ᾽ ἀλλήλων ποιουμένους,
associations with one-another making
ἔτι δὲ τὰ καθ᾽ ἡμέραν εὐτελέστατα καὶ κοσμιώτατα 228
further and the by day most-frugally and most-orderly
ζῶντας, καὶ τῶν λόγων ἐπιθυμοῦντας οὐ τῶν ἐπὶ τοῖς ἰδίοις
living and the speeches desiring not the-ones on the private
συμβολαίοις λεγομένων οὐδὲ τῶν λυπούντων τινάς, ἀλλὰ
contracts spoken nor the-ones paining some but
τῶν παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμούντων, ὅμως τολμῶσι
the-ones among all men well-reputed nevertheless they-dare
βλασφημεῖν περὶ αὐτῶν καὶ λέγειν ὡς ταύτην ποιοῦνται τὴν
to-slander about them and to-say that this they-make the
μελέτην, ἵν᾽ ἐν τοῖς ἀγῶσι παρὰ τὸ δίκαιον πλεονεκτῶσι.
practice so-that in the contests contrary-to the just they-may-get-the-better
καί τοι τίνες ἂν ἀδικίαν καὶ κακίαν ἀσκοῦντες 229
and yet who — injustice and vice practicing
σωφρονέστερον τῶν ἄλλων ζῆν ἐθελήσαιεν; τίνας δὲ
more-temperately than-the others to-live would-wish whom and
πώποθ᾽ ἑωράκασιν οἱ ταῦτα λέγοντες ἀναβαλλομένους
ever have-seen the-ones these-things saying postponing
καὶ θησαυριζομένους τὰς πονηρίας, ἀλλ᾽ οὐκ εὐθὺς τῇ
and storing-up the wickednesses but not at-once the
φύσει τῇ παρούσῃ χρωμένους;
nature the present using
χωρὶς δὲ τούτων, εἴπερ ἡ περὶ τοὺς λόγους δεινότης 230
apart and of-these if-indeed the about the speeches cleverness
ποιεῖ τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν, προσῆκεν ἅπαντας
makes against-the others' to-plot it-befitted all

τοὺς δυναμένους εἰπεῖν πολυπράγμονας καὶ συκοφάντας
the-ones able to-speak meddlesome and sycophants
εἶναι· τὸ γὰρ αἴτιον ἐν ἅπασι ταὐτὸ πέφυκεν ἐνεργάζεσθαι.
to-be the for cause in all the-same is-by-nature to-produce
231 νῦν δ' εὑρήσετε καὶ τῶν ἐν τῷ παρόντι πολιτευομένων
now but you-will-find both of-the-ones in the present engaging-in-politics
καὶ τῶν νεωστὶ τετελευτηκότων τοὺς πλείστην ἐπιμέλειαν
and of-the-ones lately having-died the-ones most care
τῶν λόγων ποιουμένους βελτίστους ὄντας τῶν ἐπὶ τὸ
of-the speeches making best being of-the-ones to the
βῆμα παριόντων, ἔτι δὲ τῶν παλαιῶν τοὺς ἀρίστους
platform coming-forward further and of-the ancient the best
ῥήτορας καὶ μεγίστην δόξαν λαβόντας πλείστων ἀγαθῶν
orators and greatest reputation having-got of-most goods
αἰτίους τῇ πόλει γεγενημένους, ἀρξαμένους ἀπὸ Σόλωνος.
causes to-the city having-been having-begun from Solon
232 ἐκεῖνός τε γὰρ προστάτης τοῦ δήμου καταστὰς οὕτως
he both for leader of-the people having-become so
ἐνομοθέτησε καὶ τὰ πράγματα διέταξε καὶ τὴν πόλιν
legislated and the affairs arranged and the city
κατεσκεύασεν, ὥστ' ἔτι καὶ νῦν ἀγαπᾶσθαι τὴν διοίκησιν
established that still also now to-be-loved the administration
τὴν ὑπ' ἐκείνου συνταχθεῖσαν· μετὰ δὲ ταῦτα Κλεισθένης
the by him organized after and these-things Cleisthenes
ἐκπεσὼν ἐκ τῆς πόλεως ὑπὸ τῶν τυράννων, λόγῳ
having-been-driven from the city by the tyrants by-speech
πείσας τοὺς Ἀμφικτύονας δανεῖσαι τῶν τοῦ θεοῦ
having-persuaded the Amphictyons to-lend of-the of-the god
χρημάτων αὐτῷ, τόν τε δῆμον κατήγαγε καὶ τοὺς
money to-him the both people restored and the

τυράννους ἐξέβαλε καὶ τὴν δημοκρατίαν ἐκείνην κατέστησε,
tyrants expelled and the democracy that established
τὴν αἰτίαν τοῖς Ἕλλησι τῶν μεγίστων ἀγαθῶν γενομένην·
the cause to-the Greeks of-the greatest goods having-become
ἐπὶ δὲ τούτῳ Θεμιστοκλῆς ἡγεμὼν ἐν τῷ πολέμῳ τῷ 233
after and him Themistocles leader in the war the
Περσικῷ γενόμενος, συμβουλεύσας τοῖς προγόνοις ἡμῶν
Persian having-become having-advised the ancestors of-us
ἐκλιπεῖν τὴν πόλιν, (ὃ τίς ἂν οἷός τ' ἐγένετο πεῖσαι μὴ
to-abandon the city which who — able — would-have-been to-persuade not
πολὺ τῷ λόγῳ διενεγκών;) εἰς τοῦτ' αὐτῶν τὰ πράγματα
much in-the speech having-excelled to this of-them the affairs
προήγαγεν ὥστ' ὀλίγας ἡμέρας ἀνάστατοι γενόμενοι πολὺν
he-advanced that few days homeless having-been long
χρόνον δεσπόται τῶν Ἑλλήνων κατέστησαν·
time masters of-the Greeks they-became
τὸ δὲ τελευταῖον Περικλῆς καὶ δημαγωγὸς ὢν ἀγαθὸς 234
the and last Pericles both popular-leader being good
καὶ ῥήτωρ ἄριστος οὕτως ἐκόσμησε τὴν πόλιν καὶ τοῖς
and orator best so adorned the city both with-the
ἱεροῖς καὶ τοῖς ἀναθήμασι καὶ τοῖς ἄλλοις ἅπασιν, ὥστ'
temples and with-the dedications and with-the other all that
ἔτι καὶ νῦν τοὺς εἰσαφικνουμένους εἰς αὐτὴν νομίζειν μὴ
still also now the-ones arriving into it to-think not
μόνον ἄρχειν ἀξίαν εἶναι τῶν Ἑλλήνων ἀλλὰ καὶ τῶν
only to-rule worthy to-be of-the Greeks but also of-the
ἄλλων ἁπάντων, καὶ πρὸς τούτοις εἰς τὴν ἀκρόπολιν οὐκ
others all and besides these into the acropolis not
ἐλάττω μυρίων ταλάντων ἀνήνεγκε.
less than-ten-thousand talents brought-up

235 καὶ τούτων τῶν ἀνδρῶν τῶν τηλικαῦτα διαπραξαμένων
and of-these the men the such-great-things having-achieved
οὐδεὶς λόγων ἠμέλησεν, ἀλλὰ τοσούτῳ μᾶλλον τῶν
no-one speeches neglected but by-so-much more than-the
ἄλλων προσέσχον αὐτοῖς τὸν νοῦν, ὥστε Σόλων μὲν τῶν
others they-turned to-them the mind that Solon indeed of-the
ἑπτὰ σοφιστῶν ἐκλήθη καὶ ταύτην ἔσχε τὴν ἐπωνυμίαν,
seven sophists was-called and this had the title
τὴν νῦν ἀτιμαζομένην καὶ κρινομένην παρ᾽ ὑμῖν, Περικλῆς
the now dishonored and on-trial among you Pericles
δὲ δυοῖν ἐγένετο μαθητής, Ἀναξαγόρου τε τοῦ Κλαζομενίου
but of-two became pupil of-Anaxagoras both the Clazomenian
καὶ Δάμωνος, τοῦ κατ᾽ ἐκεῖνον τὸν χρόνον φρονιμωτάτου
and of-Damon the in that the time wisest
δόξαντος εἶναι τῶν πολιτῶν.
having-been-thought to-be of-the citizens
236 ὥστ᾽ ἐκ τίνων ἄν τις ὑμῖν σαφέστερον ἐπιδείξειεν
so-that from what-things — anyone to-you more-clearly could-show
ὡς οὐχ αἱ δυνάμεις αἱ τῶν λόγων κακοπράγμονας τοὺς
that not the powers the of-the speeches mischief-makers the
ἀνθρώπους ποιοῦσιν; ἀλλ᾽ οἱ τοιαύτην φύσιν ἔχοντες,
men make but the-ones such nature having
οἵαν περ ὁ κατήγορος, πονηροῖς οἶμαι καὶ τοῖς λόγοις
as very the accuser wicked I-think both the speeches
καὶ τοῖς πράγμασι χρώμενοι διατελοῦσιν.
and the affairs using continue
237 ἔχω δὲ δεῖξαι καὶ τόπους ἐν οἷς ἔξεστιν ἰδεῖν τοῖς
I-can and to-show also places in which it-is-possible to-see for-the-ones
βουλομένοις τοὺς πολυπράγμονας καὶ τοὺς ταῖς αἰτίαις
wishing the meddlesome and the-ones to-the charges
ἐνόχους ὄντας ἃς οὗτοι τοῖς σοφισταῖς ἐπιφέρουσιν.
liable being which these-men to-the sophists impute

ἐν γὰρ ταῖς σανίσι ταῖς ὑπὸ τῶν ἀρχόντων ἐκτιθεμέναις
in for the boards the by the magistrates set-out
ἀναγκαῖόν ἐστιν, ἐν μὲν ταῖς ὑπὸ τῶν θεσμοθετῶν
necessary it-is in indeed the-ones by the thesmothetae
ἀμφοτέρους ἐνεῖναι, τούς τε τὴν πόλιν ἀδικοῦντας καὶ
both to-be-in the-ones both the city wronging and
τοὺς συκοφαντοῦντας, ἐν δὲ ταῖς τῶν ἕνδεκα τούς τε
the-ones playing-the-sycophant in but the-ones of-the Eleven the-ones both
κακουργοῦντας καὶ τοὺς τούτοις ἐφεστῶτας, ἐν δὲ ταῖς
doing-evil and the-ones these directing in but the-ones
τῶν τετταράκοντα τούς τ᾽ ἐν τοῖς ἰδίοις πράγμασιν
of-the Forty the-ones both in the private affairs
ἀδικοῦντας καὶ τοὺς μὴ δικαίως ἐγκαλοῦντας·
wronging and the-ones not justly accusing
ἐν αἷς τοῦτον μὲν καὶ τοὺς τούτου φίλους εὕροιτ᾽ 238
in which this-man indeed and the his friends you-would-find
ἂν ἐν πολλαῖς ἐγγεγραμμένους, ἐμὲ δὲ καὶ τοὺς περὶ
— in many inscribed me but and the-ones about
τὴν αὐτὴν ἐμοὶ διατριβὴν ὄντας οὐδ᾽ ἐν μιᾷ τούτων
the same as-me occupation being not-even in one of-these
ἐνόντας, ἀλλ᾽ οὕτω τὰ περὶ ἡμᾶς αὐτοὺς διοικοῦντας
being-in but so the-things about us ourselves managing
ὥστε μηδὲν δεῖσθαι τῶν ἀγώνων τῶν παρ᾽ ὑμῖν.
that nothing to-need of-the contests the among you
καί τοι τοὺς μήτ᾽ ἐν ταῖς πραγματείαις ταύταις ὄντας 239
and yet the-ones neither in the businesses these being
μήτ᾽ ἀκολάστως ζῶντας μήτε περὶ ἄλλην πρᾶξιν μηδεμίαν
nor licentiously living nor about other conduct any
αἰσχρὰν γεγενημένους πῶς οὐκ ἐπαινεῖσθαι προσήκει
shameful having-been how not to-be-praised befits

μᾶλλον ἢ κρίνεσθαι; δῆλον γὰρ ὅτι τοιαῦτα τοὺς συνόντας
rather than to-be-tried clear for that such-things the associates
παιδεύομεν, οἷά περ αὐτοὶ τυγχάνομεν ἐπιτηδεύοντες.
we-teach as very ourselves happen practicing
240 ἔτι τοίνυν γνώσεσθε σαφέστερον ἐκ τῶν ῥηθήσεσθαι
further then you-will-know more-clearly from the-things to-be-said
μελλόντων ὡς πόρρω τοῦ διαφθείρειν τοὺς νεωτέρους
going how far from-the to-corrupt the younger
ἐσμέν. εἰ γάρ τι τοιοῦτον ἐποιοῦμεν, οὐκ ἂν Λυσίμαχος
we-are if for anything such we-were-doing not — Lysimachus
ἦν ὁ λυπούμενος ὑπὲρ αὐτῶν οὐδ' ἄλλος οὐδεὶς
would-be the-one being-pained for them nor other anyone
τῶν τοιούτων, ἀλλὰ τοὺς πατέρας ἂν ἑωρᾶτε τῶν
of-the such but the fathers — you-would-see of-the-ones
συνόντων ἡμῖν καὶ τοὺς οἰκείους ἀγανακτοῦντας καὶ
associating with-us and the relatives being-indignant and
γραφομένους καὶ δίκην ζητοῦντας παρ' ἡμῶν λαμβάνειν.
indicting and penalty seeking from us to-exact
241 νῦν δ' ἐκεῖνοι μὲν συνιστᾶσι τοὺς παῖδας τοὺς αὑτῶν,
now but they indeed introduce the children the their-own
καὶ χρήματα διδόασι, καὶ χαίρουσιν ὁπόταν ὁρῶσιν αὐτοὺς
and money give and rejoice whenever they-see them
μεθ' ἡμῶν ἡμερεύοντας, οἱ δὲ συκοφάνται διαβάλλουσι
with us spending-the-day the but sycophants slander
καὶ πράγματα παρέχουσιν ἡμῖν, ὧν τίνες ἂν ἥδιον
and troubles cause us than-whom who — more-gladly
ἴδοιεν πολλοὺς τῶν πολιτῶν διαφθειρομένους καὶ πονηροὺς
would-see many of-the citizens being-corrupted and wicked
γιγνομένους; ἴσασι γὰρ σφᾶς αὐτοὺς ἐν μὲν τοῖς
becoming they-know for them- -selves in indeed the

τοιούτοις δυναστεύοντας, ὑπὸ δὲ τῶν καλῶν κἀγαθῶν καὶ
such holding-power by but the fine and-good and
νοῦν ἐχόντων ἀπολλυμένους, ὁπόταν ληφθῶσιν.
sense having being-ruined whenever they-are-caught

XII · THE ENVY OF ELOQUENCE

The sycophants are wise from their own point of view to want every pursuit abolished that would make the citizens harsher toward their wickedness. Isocrates confesses a strange feeling: all who envy eloquence secretly long for it, yet they censure the young who toil to attain it, and though every man would pray to the gods to be able to speak, they blame those who seek by toil what they themselves pray for. In danger the city takes the best speakers as advisers; it sacrifices to Persuasion every year and yet hates those who want her power; it rates the soul above the body and yet honors athletes more. No one blames the source of inherited wealth or the teacher of arms or boxing when a pupil misuses them, so speech should be judged alike; he repeats his hymn to it: by it men left the life of beasts, founded cities, made laws, and found the arts, and nothing done wisely is done without it. Even some eristic disputants slander useful speech, yet he will answer them mildly: eristic, astronomy, and geometry do their pupils no harm but good, less than they promise and more than most men think, who call them idle talk.

ὥσθ' οὗτοι μὲν σωφρονοῦσιν ἀναιρεῖν ζητοῦντες 242
so-that these-men indeed are-sensible to-abolish seeking
ἁπάσας τὰς τοιαύτας διατριβάς, ἐν αἷς ἡγοῦνται
all the such occupations in which they-think
βελτίους γενομένους χαλεπωτέρους ἔσεσθαι ταῖς αὑτῶν
better having-become harsher to-be-going-to-be to-the their
πονηρίαις καὶ συκοφαντίαις, ὑμᾶς δὲ προσήκει τἀναντία
wickednesses and sycophancies you but it-befits the-opposite

τούτοις πράττειν, καὶ ταῦτα νομίζειν εἶναι κάλλιστα τῶν
to-these to-do and these to-think to-be finest of-the
ἐπιτηδευμάτων οἷς ἂν τούτους ὁρᾶτε μάλιστα πολεμοῦντας.
pursuits which — these-men you-see most warring-on
243 ἄτοπον δέ τι τυγχάνω πεπονθώς· εἰρήσεται γὰρ, εἰ καί
strange and something I-happen having-experienced it-shall-be-said for if even
τινες λίαν εὐμετάβολον εἶναί με φήσουσιν. ὀλίγῳ μὲν γὰρ
some too changeable to-be me will-say a-little indeed for
πρότερον ἔλεγον ὡς πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν
before I-was-saying that many of-the fine and-good men
διεψευσμένοι τῆς φιλοσοφίας τραχύτερον πρὸς αὐτὴν
mistaken about-the philosophy roughly toward it
ἔχουσι· νῦν δ' οὕτως ἐναργεῖς ὑπείληφα τοὺς λόγους εἶναι
are-disposed now but so plain I-have-supposed the speeches to-be
τοὺς εἰρημένους καὶ πᾶσι φανερούς, ὥστ' οὐδεὶς ἀγνοεῖν
the spoken and to-all evident that no-one to-be-ignorant-of
μοι δοκεῖ τὴν δύναμιν αὐτῆς, οὐδὲ καταγιγνώσκειν ἡμῶν
to-me seems the power of-it nor to-condemn us
ὡς διαφθείρομεν τοὺς μαθητάς, οὐδὲ πεπονθέναι τοιοῦτον
that we-corrupt the pupils nor to-have-felt such
οὐδὲν οἷον αὐτοὺς ὀλίγῳ πρότερον ἠτιώμην·
anything as them a-little before I-was-charging
244 ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν καὶ τὸ νῦν ἐν τῇ
but if it-is-necessary the-truth to-say and the-thing now in the
διανοίᾳ μοι παρεστηκός, ἡγοῦμαι πάντας τοὺς φιλοτίμως
mind to-me having-occurred I-think all the-ones ambitiously
μοι διακειμένους ἐπιθυμητικῶς ἔχοντας τοῦ φρονεῖν εὖ
to-me disposed desirous being of-the to-think well
καὶ λέγειν αὐτοὺς μὲν ἀμελεῖν τούτων, τοὺς μὲν διὰ
and to-speak themselves indeed to-neglect these-things the-ones indeed through

ῥᾳθυμίαν, τοὺς δὲ καταμεμφομένους τὴν φύσιν τὴν αὑτῶν,
idleness the-ones but finding-fault-with the nature the their-own
τοὺς δὲ δι᾽ ἄλλας τινὰς προφάσεις (παμπληθεῖς δ᾽ εἰσί),
the-others but through other some pretexts very-many and are
πρὸς δὲ τοὺς πολλὴν ἐπιμέλειαν ποιουμένους καὶ τυχεῖν 245
toward but the-ones much care making and to-attain
βουλομένους ὧν εἰς ἐπιθυμίαν αὐτοὶ καθεστᾶσι, δυσκόλως
wishing what for desire themselves have-come ill
ἔχειν καὶ ζηλοτυπεῖν καὶ τὰς ψυχὰς τεταραγμένως
to-be-disposed and to-be-jealous and the souls disturbedly
διακεῖσθαι καὶ πεπονθέναι παραπλήσια τοῖς ἐρῶσι·
to-be-disposed and to-have-experienced like-things to-the lovers
τίνα γὰρ ἄν τις αὐτοῖς ἐπενεγκεῖν αἰτίαν ἔχοι
what for — anyone to-them to-bring cause could-have
πρεπωδεστέραν ταύτης;
more-fitting than-this
οἵτινες μακαρίζουσι μὲν καὶ ζηλοῦσι τοὺς καλῶς χρῆσθαι τῷ 246
who count-happy indeed and envy the-ones well to-use the
λόγῳ δυναμένους, ἐπιτιμῶσι δὲ τῶν νεωτέρων τοῖς τυχεῖν
speech able censure but of-the younger the-ones to-attain
ταύτης τῆς τιμῆς βουλομένοις. καὶ τοῖς μὲν θεοῖς οὐδεὶς
this the honor wishing and to-the indeed gods no-one
ἔστιν ὅστις οὐκ ἂν εὔξαιτο μάλιστα μὲν αὐτὸς δύνασθαι
is who not — would-pray most indeed himself to-be-able
λέγειν, εἰ δὲ μή, τοὺς παῖδας καὶ τοὺς οἰκείους τοὺς αὑτοῦ·
to-speak if but not the children and the relatives the his-own
τοὺς δὲ πόνῳ καὶ φιλοσοφίᾳ τοῦτο κατεργάσασθαι 247
σώζειν καὶ τὴν δημοκρατίαν διαφυλάττειν ἐν τοῖς τοιούτοις
to-save and the democracy to-preserve in the such
ἔνεστιν, ἀλλ' οὐκ ἐν τοῖς συκοφάνταις.
is but not in the sycophants
πολλῶν δ' ἐφεστώτων μοι λόγων ἀπορῶ πῶς αὐτοὺς 310
many and pressing-upon me speeches I-am-at-a-loss how them
διαθῶμαι· δοκεῖ γάρ μοι καθ' αὑτὸ μὲν ἕκαστον ὧν
I-should-arrange it-seems for to-me by itself indeed each of-what
διανοοῦμαι ῥηθὲν ἐπιεικὲς ἂν φανῆναι, πάντα δὲ νυνὶ
I-have-in-mind spoken reasonable — to-appear all but now
λεγόμενα πολὺν ἂν ὄχλον ἐμοί τε καὶ τοῖς ἀκούουσι
said great — crowd for-me both and for-the hearers
παρασχεῖν. ὅπερ καὶ περὶ τῶν ἤδη προειρημένων
to-cause which-very also about the-things already said-before

δέδοικα, μὴ τοιοῦτόν τι πάθος αὐτοῖς διὰ τὸ πλῆθος
I-fear lest such some feeling to-them because-of the multitude
τυγχάνῃ συμβεβηκός.
happens having-happened
311 οὕτω γὰρ ἀπλήστως ἅπαντες ἔχομεν περὶ τοὺς λόγους,
so for insatiably all are-disposed about the speeches
ὥστ' ἐπαινοῦμεν μὲν τὴν εὐκαιρίαν καὶ φαμὲν οὐδὲν
that we-praise indeed the timeliness and say nothing
εἶναι τοιοῦτον, ἐπειδὰν δ' οἰηθῶμεν ὡς ἔχομέν τι
to-be such when but we-think that we-have something
λέγειν, ἀμελήσαντες τοῦ μετριάζειν, κατὰ μικρὸν ἀεὶ
to-say having-neglected the to-be-moderate by little always
προστιθέντες εἰς τὰς ἐσχάτας ἀκαιρίας ἐμβάλλομεν ἡμᾶς
adding into the utmost untimelinesses we-throw us
αὐτούς· ὅπου γε καὶ λέγων ἐγὼ ταῦτα καὶ γιγνώσκων,
ourselves where at-least even saying I these-things and knowing
ὅμως ἔτι βούλομαι διαλεχθῆναι πρὸς ὑμᾶς.
nevertheless still I-wish to-discourse with you
312 ἀγανακτῶ γὰρ ὁρῶν τὴν συκοφαντίαν ἄμεινον τῆς
I-am-indignant for seeing the sycophancy better than-the
φιλοσοφίας φερομένην, καὶ τὴν μὲν κατηγοροῦσαν,
philosophy faring and the-one indeed accusing
τὴν δὲ κρινομένην. ὃ τίς ἂν τῶν παλαιῶν ἀνδρῶν
the-other but being-tried which who — of-the ancient men
γενήσεσθαι προσεδόκησεν, ἄλλως τε καὶ παρ' ὑμῖν
to-be-going-to-happen would-have-expected otherwise both and among you
τοῖς ἐπὶ σοφίᾳ μεῖζον τῶν ἄλλων φρονοῦσιν;
the-ones on wisdom greater than-the others thinking
313 οὔκουν ἐπί γε τῶν προγόνων οὕτως εἶχεν, ἀλλὰ
not-then in-the-time-of at-least the ancestors so it-was but
τοὺς μὲν καλουμένους σοφιστὰς ἐθαύμαζον καὶ τοὺς
the indeed so-called sophists they-admired and the

συνόντας αὐτοῖς ἐζήλουν, τοὺς δὲ συκοφάντας πλείστων
associates with-them they-envied the but sycophants of-most
κακῶν αἰτίους ἐνόμιζον εἶναι. μέγιστον δὲ τεκμήριον·
evils causes they-thought to-be greatest and proof
Σόλωνα μὲν γάρ, τὸν πρῶτον τῶν πολιτῶν λαβόντα
Solon indeed for the first of-the citizens having-got
τὴν ἐπωνυμίαν ταύτην, προστάτην ἠξίωσαν τῆς πόλεως
the title this leader they-thought-fit of-the city
εἶναι, περὶ δὲ τῶν συκοφαντῶν χαλεπωτέρους ἢ περὶ
to-be about but the sycophants harsher than about
τῶν ἄλλων κακουργιῶν τοὺς νόμους ἔθεσαν.
the other crimes the laws they-laid-down
τοῖς μὲν γὰρ μεγίστοις τῶν ἀδικημάτων ἐν ἑνὶ τῶν 314
for-the indeed for greatest of-the wrongs in one of-the
δικαστηρίων τὴν κρίσιν ἐποίησαν, κατὰ δὲ τούτων γραφὰς
courts the trial they-made against but these indictments
μὲν πρὸς τοὺς θεσμοθέτας, εἰσαγγελίας δ' εἰς τὴν βουλήν,
indeed before the thesmothetae impeachments and to the council
προβολὰς δ' ἐν τῷ δήμῳ, νομίζοντες τοὺς ταύτῃ τῇ τέχνῃ
denunciations and in the assembly thinking the-ones this the art
χρωμένους ἁπάσας ὑπερβάλλειν τὰς πονηρίας. τοὺς μὲν γὰρ
using all to-exceed the wickednesses the indeed for
ἄλλους ἀλλ' οὖν πειρᾶσθαί γε λανθάνειν κακουργοῦντας,
others but anyway to-try at-least to-escape-notice doing-evil
τούτους δ' ἐν ἅπασιν ἐπιδείκνυσθαι τὴν αὑτῶν ὠμότητα 315
these but in all to-display the their-own cruelty
καὶ μισανθρωπίαν καὶ φιλαπεχθημοσύνην. κἀκεῖνοι μὲν
and misanthropy and quarrelsomeness and-they indeed
οὕτως ἐγίγνωσκον περὶ αὐτῶν· ὑμεῖς δὲ τοσοῦτον ἀπέχετε
so judged about them you but so-much are-far
τοῦ κολάζειν αὐτούς, ὥστε τούτοις χρῆσθε καὶ κατηγόροις
from-the to-punish them that these you-use both as-accusers

καὶ νομοθέταις περὶ τῶν ἄλλων. καί τοι προσῆκεν αὐτοὺς
and lawgivers about the others and yet it-befitted them
νῦν μισεῖσθαι μᾶλλον ἢ κατ᾽ ἐκεῖνον τὸν χρόνον.
now to-be-hated more than in that the time
316 τότε μὲν γὰρ ἐν τοῖς ἐγκυκλίοις μόνον καὶ τοῖς κατὰ
then indeed for in the routine-affairs only and the in
τὴν πόλιν ἔβλαπτον τοὺς συμπολιτευομένους· ἐπειδὴ δ᾽
the city they-harmed the fellow-citizens when but
αὐξηθείσης τῆς πόλεως καὶ λαβούσης τὴν ἀρχὴν οἱ
having-been-increased the city and having-taken the empire the
πατέρες ἡμῶν, μᾶλλον θαρρήσαντες τοῦ συμφέροντος,
fathers our more having-grown-bold than-the advantage
τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνδρῶν καὶ μεγάλην τὴν
the indeed fine and-good of-the men and great the
πόλιν ποιήσασι διὰ τὰς δυναστείας ἐφθόνησαν, πονηρῶν
city having-made because-of the powers envied wicked
δ᾽ ἀνθρώπων καὶ μεστῶν θρασύτητος ἐπεθύμησαν,
but men and full of-insolence desired
317 οἰηθέντες ταῖς μὲν τόλμαις καὶ ταῖς φιλαπεχθημοσύναις
having-thought by-the indeed daring and the quarrelsomeness
ἱκανοὺς αὐτοὺς ἔσεσθαι διαφυλάττειν τὴν δημοκρατίαν,
sufficient them to-be-going-to-be to-preserve the democracy
διὰ δὲ τὴν φαυλότητα τῶν ἐξ ἀρχῆς αὐτοῖς
because-of but the meanness of-the-things from beginning to-them
ὑπαρξάντων οὐ μέγα φρονήσειν οὐδ᾽ ἐπιθυμήσειν ἑτέρας
existing not great to-be-going-to-aspire nor to-be-going-to-desire another
πολιτείας. ἐκ ταύτης τῆς μεταβολῆς τί τῶν δεινῶν οὐ
constitution from this the change what of-the terrible-things not
συνέπεσε τῇ πόλει, τί δὲ τῶν μεγίστων κακῶν οἱ ταύτην
befell the city what and of-the greatest evils the-ones this
ἔχοντες τὴν φύσιν οὐ καὶ λέγοντες καὶ πράττοντες διετέλεσαν;
having the nature not both saying and doing continued

οὐ τοὺς μὲν ἐνδοξοτάτους τῶν πολιτῶν καὶ μάλιστα 318
not the indeed most-distinguished of-the citizens and most
δυναμένους ποιῆσαί τι τὴν πόλιν ἀγαθόν, ὀλιγαρχίαν
able to-do something the city good oligarchy
ὀνειδίζοντες καὶ λακωνισμόν, οὐ πρότερον ἐπαύσαντο
reproaching and Laconism not before did-they-cease
πρὶν ἠνάγκασαν ὁμοίους γενέσθαι ταῖς αἰτίαις ταῖς
before they-compelled like to-become to-the charges the
λεγομέναις περὶ αὐτῶν· τοὺς δὲ συμμάχους λυμαινόμενοι
spoken about them the but allies maltreating
καὶ συκοφαντοῦντες, καὶ τοὺς βελτίστους ἐκ τῶν ὄντων
and slandering and the best from the properties
ἐκβάλλοντες, οὕτω διέθεσαν ὥσθ' ἡμῶν μὲν ἀποστῆναι,
expelling so disposed that from-us indeed to-revolt
τῆς δὲ Λακεδαιμονίων ἐρασθῆναι φιλίας καὶ συμμαχίας;
of-the but of-Lacedaemonians to-fall-in-love-with friendship and alliance
ἐξ ὧν εἰς πόλεμον καταστάντες πολλοὺς ἐπείδομεν τῶν 319
from which into war having-come many we-looked-on of-the
πολιτῶν τοὺς μὲν τελευτήσαντας, τοὺς δ' ἐπὶ τοῖς
citizens the-ones indeed having-died the-others and at the
πολεμίοις γενομένους, τοὺς δ' εἰς ἔνδειαν τῶν ἀναγκαίων
enemies having-become the-others and into want of-the necessities
καταστάντας, ἔτι δὲ τὴν δημοκρατίαν δὶς καταλυθεῖσαν
having-come further and the democracy twice overthrown
καὶ τὰ τείχη τῆς πατρίδος κατασκαφέντα, τὸ δὲ μέγιστον,
and the walls of-the fatherland razed the and greatest
ὅλην τὴν πόλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύσασαν καὶ
whole the city about enslavement having-been-in-danger and
τὴν ἀκρόπολιν τοὺς πολεμίους οἰκήσαντας.
the acropolis the enemies having-occupied

320 ἀλλὰ γὰρ αἰσθάνομαι, καίπερ ὑπὸ τῆς ὀργῆς βίᾳ
but for I-perceive although by the anger by-force
φερόμενος, τὸ μὲν ὕδωρ ἡμᾶς ἐπιλεῖπον, αὐτὸς δ᾽
being-carried the indeed water us running-out myself and
ἐμπεπτωκὼς εἰς λόγους ἡμερησίους καὶ κατηγορίας.
having-fallen into speeches for-a-whole-day and accusations
ὑπερβὰς οὖν τὸ πλῆθος τῶν συμφορῶν τῶν διὰ
having-passed-over then the multitude of-the misfortunes the through
τούτους γεγενημένων, καὶ διωσάμενος τὸν ὄχλον τῶν
these having-arisen and having-pushed-aside the crowd of-the-things
ἐνόντων εἰπεῖν περὶ τῆς τούτων συκοφαντίας, μικρῶν ἔτι
possible to-say about the of-these sycophancy small-things still
πάνυ μνησθεὶς ἤδη καταλύσω τὸν λόγον.
very having-mentioned now I-shall-end the speech
321 τοὺς μὲν οὖν ἄλλους ὁρῶ τοὺς κινδυνεύοντας, ἐπειδὰν
the indeed then others I-see the-ones being-in-danger whenever
περὶ τὴν τελευτὴν ὦσι τῆς ἀπολογίας, ἱκετεύοντας,
toward the end they-are of-the defense entreating
δεομένους, τοὺς παῖδας, τοὺς φίλους ἀναβιβαζομένους·
begging the children the friends bringing-up
ἐγὼ δὲ οὔτε πρέπειν οὐδὲν ἡγοῦμαι τῶν τοιούτων τοῖς
I but neither to-befit any I-think of-the such-things for-the
τηλικούτοις, πρός τε τῷ ταῦτα γιγνώσκειν, αἰσχυνθείην
so-old besides and the these-things to-know I-would-be-ashamed
ἄν, εἰ δι᾽ ἄλλο τι σωζοίμην ἢ διὰ τοὺς λόγους
— if through other something I-should-be-saved than through the speeches
τοὺς προειρημένους. οἶδα γὰρ ἐμαυτὸν οὕτως ὁσίως καὶ
the said-before I-know for myself so piously and
δικαίως κεχρημένον αὐτοῖς καὶ περὶ τὴν πόλιν καὶ περὶ
justly having-used them both toward the city and toward

τοὺς προγόνους καὶ μάλιστα περὶ τοὺς θεούς, ὥστε, εἴ
the ancestors and most toward the gods that if
τι μέλει τῶν ἀνθρωπίνων αὐτοῖς πραγμάτων,
anything concerns of-the human to-them affairs
οὐδὲ τῶν νῦν περὶ ἐμὲ γιγνομένων οὐδὲν αὐτοὺς οἶμαι 322
not-even of-the-things now about me happening anything them I-think
λανθάνειν. διόπερ οὐκ ὀρρωδῶ τὸ μέλλον συμβήσεσθαι
to-escape-notice therefore not I-dread the-thing going to-happen
παρ᾽ ὑμῶν, ἀλλὰ θαρρῶ καὶ πολλὰς ἐλπίδας ἔχω τότε
from you but I-am-confident and many hopes I-have then
μοι τοῦ βίου τὴν τελευτὴν ἥξειν, ὅταν μέλλῃ
to-me of-the life the end to-be-going-to-come whenever it-is-going
συνοίσειν ἡμῖν, σημείῳ χρώμενος ὅτι καὶ τὸν παρελθόντα
to-be-advantageous for-us as-sign using that also the past
χρόνον οὕτω τυγχάνω βεβιωκὼς μέχρι ταύτης τῆς ἡμέρας,
time so I-happen having-lived up-to this the day
ὡς περ προσήκει τοὺς εὐσεβεῖς καὶ θεοφιλεῖς τῶν ἀνθρώπων.
as very befits the pious and god-loved of-the men
ὡς οὖν ἐμοῦ ταύτην ἔχοντος τὴν γνώμην, καὶ νομίζοντος 323
as then me this having the opinion and thinking
ὅ τι ἂν ὑμῖν δόξῃ, τοῦθ᾽ ἕξειν μοι καλῶς καὶ
what ever — to-you seems this to-be-going-to-be for-me well and
συμφερόντως, ὅπως ἕκαστος ὑμῶν χαίρει καὶ βούλεται,
advantageously as each of-you rejoices and wishes
τοῦτον τὸν τρόπον φερέτω τὴν ψῆφον.
this the way let-him-cast the vote

ISOCRATES

ΠΑΝΑΘΗΝΑΪΚΟΣ

Panathenaicus

In his youth Isocrates chose to write not myths and marvels but discourses on what is useful to Athens and the Greeks. Now, at ninety-four, such speeches no longer suit him, so if this one seems softer than his earlier work it should not be compared with them. He will speak of the city's deeds and the ancestors' virtue, but first of what has happened to him: though blessed with health, ample means, and repute, he is querulous in old age and blames his nature, which lacked both the voice and the boldness to speak in public, so he turned to philosophy and writing. Orators serve their own interest, yet he is slandered while they are honored. Lately some of his acquaintances reported that three or four common sophists at the Lyceum were reciting Homer and Hesiod, and the boldest of them said that Isocrates despises all such teaching and abolishes every other philosophy and education, and he was confounded, since he had thought his war on such boasters well known.

νεώτερος μὲν ὢν προῃρούμην γράφειν τῶν λόγων οὐ τοὺς 1
younger indeed being I-chose to-write of-the speeches not the
μυθώδεις οὐδὲ τοὺς τερατείας καὶ ψευδολογίας μεστούς,
mythical nor the-ones of-marvels and falsehoods full
οἷς οἱ πολλοὶ μᾶλλον χαίρουσιν ἢ τοῖς περὶ τῆς
in-which the many more delight than in-the-ones about the
αὑτῶν σωτηρίας λεγομένοις, οὐδὲ τοὺς τὰς παλαιὰς πράξεις
their-own safety spoken nor the-ones the ancient deeds
καὶ τοὺς πολέμους τοὺς Ἑλληνικοὺς ἐξηγουμένους, καίπερ
and the wars the Greek expounding although
εἰδὼς δικαίως αὐτοὺς ἐπαινουμένους, οὐδ' αὖ τοὺς ἁπλῶς
knowing justly them praised nor again the-ones simply
δοκοῦντας εἰρῆσθαι καὶ μηδεμιᾶς κομψότητος μετέχοντας,
seeming to-have-been-spoken and of-no elegance partaking
οὓς οἱ δεινοὶ περὶ τοὺς ἀγῶνας παραινοῦσι τοῖς νεωτέροις
which the clever about the contests advise the younger
μελετᾶν, εἴπερ βούλονται πλέον ἔχειν τῶν ἀντιδίκων,
to-practice if-indeed they-wish more to-have than-the opponents

2 ἀλλὰ πάντας τούτους ἐάσας περὶ ἐκείνους ἐπραγματευόμην,
but all these having-let-go about those I-busied-myself
τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει καὶ τοῖς ἄλλοις
the-ones about the advantageous-things for-the both city and the other
Ἕλλησι συμβουλεύοντας, καὶ πολλῶν μὲν ἐνθυμημάτων
Greeks advising and of-many indeed reflections
γέμοντας, οὐκ ὀλίγων δ' ἀντιθέσεων καὶ παρισώσεων καὶ
full not few and of-antitheses and of-parallelisms and
τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν καὶ
of-the other figures the in the oratory shining-out and
τοὺς ἀκούοντας ἐπισημαίνεσθαι καὶ θορυβεῖν ἀναγκαζουσῶν.
the hearers to-applaud and to-shout compelling
3 νῦν δ' οὐδ' ὁπωσοῦν τοὺς τοιούτους. ἡγοῦμαι γὰρ οὐχ
now but not-even in-any-way the such I-think for not
ἁρμόττειν οὔτε τοῖς ἔτεσι τοῖς ἐνενήκοντα καὶ τέτταρσιν,
to-befit either the years the ninety and four
ἃ γὰ τυγχάνω γεγονώς, οὔθ' ὅλως τοῖς ἤδη πολιὰς ἔχουσιν,
which-I happen having-become or at-all the-ones already gray-hairs having
ἐκεῖνον τὸν τρόπον ἔτι λέγειν, ἀλλ' ὡς ἅπαντες μὲν ἂν
that the manner still to-speak but as all indeed —
ἐλπίσειαν εἰ βουληθεῖεν, οὐδεὶς δ' ἂν δυνηθείη ῥᾳδίως πλὴν
would-hope if they-should-wish no-one but — could-be-able easily except
τῶν πονεῖν ἐθελόντων καὶ σφόδρα προσεχόντων τὸν νοῦν.
the-ones to-toil willing and very turning the mind
4 τούτου δ' ἕνεκεν ταῦτα προεῖπον, ἵν' ἤν τισιν ὁ
of-this and for-the-sake these-things I-said-before so-that if to-some the
μέλλων δειχθήσεσθαι λόγος μαλακώτερος ὢν φαίνηται
going to-be-shown speech softer being appear
τῶν πρότερον διαδεδομένων, μὴ παραβάλλωσι πρὸς τὴν
than-the before published not they-compare to the

ἐκείνων ποικιλίαν, ἀλλὰ πρὸς τὴν ὑπόθεσιν αὐτὸν κρίνωσι
of-those intricacy but to the subject it they-judge
τὴν ἐν τῷ παρόντι δεδοκιμασμένην.
the in the present approved
διαλέξομαι δὲ περί τε τῶν τῇ πόλει πεπραγμένων καὶ 5
I-shall-discourse and about both the-things by-the city done and
περὶ τῆς τῶν προγόνων ἀρετῆς, οὐκ ἀπὸ τούτων ἀρξάμενος,
about the of-the ancestors virtue not from these having-begun
ἀλλ᾽ ἀπὸ τῶν ἐμοὶ συμβεβηκότων· ἐντεῦθεν γὰρ οἶμαι
but from the-things to-me having-happened from-there for I-think
μᾶλλον κατεπείγειν. πειρώμενος γὰρ ἀναμαρτήτως ζῆν καὶ
more to-press trying for blamelessly to-live and
τοῖς ἄλλοις ἀλύπως, οὐδένα διαλέλοιπα χρόνον ὑπὸ μὲν
to-the others inoffensively no I-have-left-off time by indeed
τῶν σοφιστῶν τῶν ἀδοκίμων καὶ πονηρῶν διαβαλλόμενος,
the sophists the disreputable and wicked slandered
ὑπ᾽ ἄλλων δέ τινων οὐχ οἷός εἰμι γιγνωσκόμενος, ἀλλὰ
by others but some not such-as I-am judged but
τοιοῦτος ὑπολαμβανόμενος οἷον ἂν παρ᾽ ἑτέρων ἀκούσωσιν.
such supposed as — from others they-bear
βούλομαι οὖν προδιαλεχθῆναι περί τ᾽ ἐμαυτοῦ καὶ 6
I-wish then to-discourse-beforehand about both myself and
περὶ τῶν οὕτω πρός με διακειμένων, ἵν᾽ ἤν πως
about the-ones so toward me disposed so-that if somehow
οἷός τε γένωμαι, τοὺς μὲν παύσω βλασφημοῦντας,
able — I-become the-ones indeed I-may-stop slandering
τοὺς δ᾽ εἰδέναι ποιήσω περὶ ἃ τυγχάνω διατρίβων·
the-ones but to-know I-may-make about what I-happen spending-time
ἦν γὰρ ταῦτα τῷ λόγῳ δυνηθῶ διοικῆσαι κατὰ
if for these-things by-the speech I-be-able to-manage according-to
τρόπον, ἐλπίζω τὸν ἐπίλοιπον χρόνον αὐτός τε ἀλύπως
manner I-hope the remaining time myself both inoffensively

διάξειν, καὶ τῷ λόγῳ τῷ μέλλοντι ῥηθήσεσθαι τοὺς
to-be-going-to-pass and to-the speech the going to-be-spoken the-ones
παρόντας μᾶλλον προσέξειν τὸν νοῦν.
present more to-turn the mind

7 οὐκ ὀκνήσω δὲ κατειπεῖν οὔτε τὴν νῦν ἐγγιγνομένην ἐν τῇ
not I-shall-shrink and to-declare either the now arising in the
διανοίᾳ μοι ταραχήν, οὔτε τὴν ἀτοπίαν ὧν ἐν τῷ παρόντι
mind for-me confusion or the strangeness of-what in the present
τυγχάνω γιγνώσκων, οὔτ' εἴ τι πράττω τῶν δεόντων.
I-happen judging or whether anything I-do of-the needful-things
ἐγὼ γὰρ μετεσχηκὼς τῶν μεγίστων ἀγαθῶν, ὧν ἅπαντες
I for having-shared of-the greatest goods which all
ἂν εὔξαιντο μεταλαβεῖν, πρῶτον μὲν τῆς περὶ τὸ σῶμα
— would-pray to-share-in first indeed of-the about the body
καὶ τὴν ψυχὴν ὑγιείας οὐχ ὡς ἔτυχον, ἀλλ' ἐναμίλλως τοῖς
and the soul health not as I-chanced but rivaling the-ones
μάλιστα περὶ ἑκάτερον τούτων εὐτυχηκόσιν, ἔπειτα τῆς
most in each of-these having-been-fortunate then of-the
περὶ τὸν βίον εὐπορίας, ὥστε μηδενὸς πώποτ' ἀπορῆσαι τῶν
about the life prosperity so-that of-nothing ever to-be-in-want of-the
μετρίων μηδ' ὧν ἄνθρωπος ἂν νοῦν ἔχων ἐπιθυμήσειεν,
moderate nor of-which a-man — sense having would-desire

8 ἔτι τοῦ μὴ τῶν καταβεβλημένων εἷς εἶναι μηδὲ τῶν
further of-the not of-the cast-aside one to-be nor of-the
κατημελημένων, ἀλλ' ἐκείνων περὶ ὧν οἱ χαριέστατοι
neglected but of-those about whom the most-refined
τῶν Ἑλλήνων καὶ μνησθεῖεν ἂν καὶ διαλεχθεῖεν ὡς
of-the Greeks both would-make-mention — and would-discourse as
σπουδαίων ὄντων, — τούτων ἁπάντων μοι συμβεβηκότων
worthy being these all to-me having-happened
τῶν μὲν ὑπερβαλλόντως τῶν δ' ἐξαρκούντως οὐκ ἀγαπῶ
the indeed exceedingly the but sufficiently not I-am-content

ζῶν ἐπὶ τούτοις, ἀλλ᾽ οὕτω τὸ γῆράς ἐστι δυσάρεστον
living on these but so the old-age is hard-to-please
καὶ μικρολόγον καὶ μεμψίμοιρον, ὥστε πολλάκις ἤδη τήν
and petty and querulous that often already the
τε φύσιν τὴν ἐμαυτοῦ κατεμεμψάμην,
both nature the my-own I-have-blamed
ἧς οὐδεὶς ἄλλος καταπεφρόνηκε, καὶ τὴν τύχην ὠδυράμην, 9
which no-one other has-despised and the fortune I-lamented
ταύτῃ μὲν οὐδὲν ἔχων ἐπικαλεῖν ἄλλο πλὴν ὅτι περὶ τὴν
it indeed nothing having to-reproach other except that about the
φιλοσοφίαν ἣν προειλόμην ἀτυχίαι τινὲς καὶ συκοφαντίαι
philosophy which I-chose misfortunes some and sycophancies
γεγόνασι, τὴν δὲ φύσιν εἰδὼς πρὸς μὲν τὰς πράξεις
have-arisen the but nature knowing for indeed the actions
ἀρρωστοτέραν καὶ μαλακωτέραν οὖσαν τοῦ δέοντος,
weaker and softer being than-the needful
πρὸς δὲ τοὺς λόγους οὔτε τελείαν οὔτε πανταχῇ χρησίμην,
for but the speeches neither perfect nor everywhere useful
ἀλλὰ δοξάσαι μὲν περὶ ἑκάστου τὴν ἀλήθειαν μᾶλλον
but to-form-opinion indeed about each the truth more
δυναμένην τῶν εἰδέναι φασκόντων, εἰπεῖν δὲ περὶ τῶν
able than-the-ones to-know claiming to-speak but about the
αὐτῶν τούτων ἐν συλλόγῳ πολλῶν ἀνθρώπων ἁπασῶν
same these in a-gathering of-many men from-all
ὡς ἔπος εἰπεῖν ἀπολελειμμένην.
so-to word to-say left-behind
οὕτω γὰρ ἐνδεὴς ἀμφοτέρων ἐγενόμην τῶν μεγίστην 10
so for lacking in-both I-became the greatest
δύναμιν ἐχόντων παρ᾽ ἡμῖν, φωνῆς ἱκανῆς καὶ τόλμης,
power having among us voice adequate and boldness
ὡς οὐκ οἶδ᾽ εἴ τις ἄλλος τῶν πολιτῶν· ὧν οἱ μὴ
as not I-know if anyone other of-the citizens which the-ones not

τυχόντες ἀτιμότεροι περιέρχονται πρὸς τὸ δοκεῖν ἄξιοί
having-obtained more-dishonored go-about toward the to-seem worthy
τινος εἶναι τῶν ὀφειλόντων τῷ δημοσίῳ· τοῖς
of-something to-be than-the-ones owing to-the treasury for-the
μὲν γὰρ ἐκτίσειν τὸ καταγνωσθὲν ἐλπίδες ὕπεισιν,
indeed for to-be-going-to-pay the fine hopes steal-in
οἱ δ' οὐδέποτ' ἂν τὴν φύσιν μεταβάλοιεν.
the-ones but never — the nature could-change
11 οὐ μὴν ἐπὶ τούτοις ἀθυμήσας περιεῖδον ἐμαυτὸν ἄδοξον
not however at these having-lost-heart I-overlooked myself without-fame
οὐδ' ἀφανῆ παντάπασι γενόμενον, ἀλλ' ἐπειδὴ τοῦ
nor obscure altogether having-become but since the
πολιτεύεσθαι διήμαρτον, ἐπὶ τὸ φιλοσοφεῖν καὶ πονεῖν καὶ
to-engage-in-politics I-missed to the to-philosophize and to-toil and
γράφειν ἃ διανοηθείην κατέφυγον, οὐ περὶ μικρῶν τὴν
to-write what I-should-think-out I-took-refuge not about small-things the
προαίρεσιν ποιούμενος οὐδὲ περὶ τῶν ἰδίων συμβολαίων οὐδὲ
choice making nor about the private contracts nor
περὶ ὧν ἄλλοι τινὲς ληροῦσιν, ἀλλὰ περὶ τῶν Ἑλληνικῶν καὶ
about what others some babble but about the Greek and
βασιλικῶν καὶ πολιτικῶν πραγμάτων, δι' ἃ προσήκειν
royal and political affairs because-of which to-be-fitting
ᾠόμην μοι τοσούτῳ μᾶλλον τιμᾶσθαι τῶν ἐπὶ τὸ βῆμα
I-thought for-me by-so-much more to-be-honored than-the-ones to the platform
παριόντων, ὅσῳ περ περὶ μειζόνων καὶ καλλιόνων ἢ
coming-forward by-as-much very about greater and finer-things than
ἐκεῖνοι τοὺς λόγους ἐποιούμην. ὧν οὐδὲν ἡμῖν ἀποβέβηκεν.
those the speeches I-was-making of-which nothing to-us has-turned-out
12 καίτοι πάντες ἴσασι τῶν μὲν ῥητόρων τοὺς πολλοὺς οὐχ
and-yet all know of-the indeed orators the many not
ὑπὲρ τῶν τῇ πόλει συμφερόντων, ἀλλ' ὑπὲρ ὧν αὐτοὶ
on-behalf-of the for-the city advantageous-things but on-behalf-of what themselves

λήψεσθαι προσδοκῶσι, δημηγορεῖν τολμῶντας, ἐμὲ δὲ καὶ
to-be-going-to-get they-expect to-harangue daring me but and
τοὺς ἐμοὺς οὐ μόνον τῶν κοινῶν ἀπεχομένους μᾶλλον
the my not only from-the public-funds abstaining more
τῶν ἄλλων, ἀλλὰ καὶ τῶν ἰδίων εἰς τὰς τῆς πόλεως
than-the others but also of-the private-means on the of-the city
χρείας ὑπὲρ τὴν δύναμιν τὴν ἡμετέραν αὐτῶν δαπανωμένους,
needs beyond the means the our own spending
ἔτι δὲ τοὺς μὲν ἢ λοιδορουμένους ἐν ταῖς ἐκκλησίαις 13
further and the-ones indeed either railing in the assemblies
περὶ μεσεγγυήματος σφίσιν αὐτοῖς ἢ λυμαινομένους τοὺς
about a-stake-held for-them- -selves or maltreating the
συμμάχους ἢ τῶν ἄλλων ὁν ἂν τύχωσι συκοφαντοῦντας,
allies or of-the others whomever — they-chance blackmailing
ἐμὲ δὲ τῶν λόγων ἡγεμόνα τούτων γεγενημένον, τῶν
me but of-the speeches leader of-these having-been of-the-ones
παρακαλούντων τοὺς Ἕλληνας ἐπί τε τὴν ὁμόνοιαν τὴν
summoning the Greeks to both the concord the
πρὸς ἀλλήλους καὶ τὴν στρατείαν τὴν ἐπὶ τοὺς βαρβάρους,
with one-another and the expedition the against the barbarians
καὶ τῶν συμβουλευόντων ἀποικίαν ἐκπέμπειν κοινῇ 14
and of-the-ones advising a-colony to-send-out in-common
πάντας ἡμᾶς ἐπὶ τοσαύτην χώραν καὶ τοιαύτην, περὶ
all us to so-great land and such about
ἧς ὅσοι περ ἀκηκόασιν ὁμολογοῦσιν ἡμᾶς τε, εἰ
which as-many-as very have-heard agree us both if
σωφρονήσαιμεν καὶ παυσαίμεθα τῆς πρὸς ἀλλήλους
we-should-be-sensible and should-cease from-the toward one-another
μανίας, ταχέως ἂν ἄνευ πόνων καὶ κινδύνων κατασχεῖν
madness quickly — without toils and dangers to-occupy
αὐτήν, ἐκείνην τε ῥᾳδίως ἂν ἅπαντας δέξασθαι τοὺς ἐνδεεῖς
it it and easily — all to-receive the needy

ἡμῶν ὄντας τῶν ἐπιτηδείων· ὧν πράξεις, εἰ πάντες
of-us being of-the necessities than-which actions if all
συνελθόντες ζητοῖεν, οὐδέποτ' ἂν εὕροιεν καλλίους
having-come-together should-seek never — would-they-find finer
οὐδὲ μείζους οὐδὲ μᾶλλον ἅπασιν ἡμῖν συμφερούσας.
nor greater nor more for-all us advantageous
15 ἀλλ' ὅμως οὕτω πολὺ τῇ διανοίᾳ διεστώτων ἡμῶν,
but nevertheless so much in-the mind standing-apart we
καὶ τοσούτῳ σπουδαιοτέραν ἐμοῦ πεποιημένου τὴν αἵρεσιν,
and so-much more-serious me having-made the choice
οὐ δικαίως οἱ πολλοὶ περὶ ἡμῶν ὑπειλήφασιν, ἀλλὰ
not justly the many about us have-supposed but
ταραχωδῶς καὶ παντάπασιν ἀλογίστως. τῶν μὲν γὰρ
confusedly and altogether irrationally of-the indeed for
ῥητόρων τὸν τρόπον ψέγοντες προστάτας αὐτοὺς τῆς
orators the character blaming leaders them of-the
πόλεως ποιοῦνται καὶ κυρίους ἁπάντων καθιστᾶσιν,
city they-make and masters of-all they-establish
ἐμοῦ δὲ τοὺς λόγους ἐπαινοῦντες αὐτῷ μοι φθονοῦσι,
of-me but the speeches praising me myself they-envy
δι' οὐδὲν ἕτερον ἢ διὰ τούτους οὓς ἀποδεχόμενοι
because-of nothing other than because-of these which approving
τυγχάνουσιν· οὕτως ἀτυχῶς φέρομαι παρ' αὐτοῖς.
they-happen so unfortunately I-fare among them
16 καὶ τί δεῖ θαυμάζειν τῶν πρὸς ἁπάσας τὰς ὑπεροχὰς
and why is-it-necessary to-wonder-at the-ones toward all the excellences
οὕτω διακεῖσθαι πεφυκότων, ὅπου καὶ τῶν οἰομένων
so to-be-disposed endowed where even of-the-ones thinking
διαφέρειν καὶ ζηλούντων ἐμὲ καὶ μιμεῖσθαι γλιχομένων
to-excel and emulating me and to-imitate eager
τινὲς ἔτι δυσμενέστερον ἔχουσί μοι τῶν ἰδιωτῶν· ὧν
some still more-hostilely are-disposed to-me than-the private-men than-whom

τίνας ἄν τις εὕροι πονηροτέρους, εἰρήσεται γάρ, εἰ καί
whom — anyone could-find more-wicked it-shall-be-said for if even
τισι δόξω νεώτερα καὶ βαρύτερα λέγειν τῆς ἡλικίας,
to-some I-shall-seem more-youthful and heavier-things to-say than-the age
οἵτινες οὔτε φράζειν οὐδὲν μέρος ἔχοντες τοῖς μαθηταῖς
who neither to-explain any part having to-the pupils
τῶν εἰρημένων ὑπ᾽ ἐμοῦ, τοῖς τε λόγοις παραδείγμασι
of-the-things said by me the both speeches as-models
χρώμενοι τοῖς ἐμοῖς καὶ ζῶντες ἐντεῦθεν τοσούτου δέουσι
using the my and living from-there so-far fall-short
χάριν ἔχειν τούτων, ὥστ᾽ οὐδ᾽ ἀμελεῖν ἡμῶν ἐθέλουσιν,
gratitude to-have for-these that not-even to-ignore us they-are-willing
ἀλλ᾽ ἀεί τι φλαῦρον περὶ ἐμοῦ λέγουσιν;
but always something mean about me they-say
ἕως μὲν οὖν τοὺς λόγους μου ἐλυμαίνοντο, 17
while indeed then the speeches my they-maltreated
παραναγιγνώσκοντες ὡς δυνατὸν κάκιστα τοῖς
reading-alongside as possible worst with-the
ἑαυτῶν καὶ διαιροῦντες οὐκ ὀρθῶς καὶ κατακνίζοντες
their-own and dividing not rightly and mangling
καὶ πάντα τρόπον διαφθείροντες, οὐδὲν ἐφρόντιζον τῶν
and every way spoiling nothing I-cared-about of-the
ἀπαγγελλομένων, ἀλλὰ ῥᾳθύμως εἶχον· μικρὸν δὲ πρὸ
things-reported but idly I-was-disposed a-little but before
τῶν Παναθηναίων τῶν μεγάλων ἠχθέσθην δι᾽ αὐτούς.
the Panathenaea the Great I-was-vexed because-of them
ἀπαντήσαντες γάρ τινές μοι τῶν ἐπιτηδείων ἔλεγον 18
having-met for some me of-the intimates said
ὡς ἐν τῷ Λυκείῳ συγκαθεζόμενοι τρεῖς ἢ τέτταρες
that in — Lyceum sitting-together three or four
τῶν ἀγελαίων σοφιστῶν καὶ πάντα φασκόντων εἰδέναι
of-the common sophists and all-things claiming to-know

καὶ ταχέως πανταχοῦ γιγνομένων διαλέγοιντο περί τε
and quickly everywhere being were-discoursing about both
τῶν ἄλλων ποιητῶν καὶ τῆς Ἡσιόδου καὶ τῆς Ὁμήρου
the other poets and the of-Hesiod and the of-Homer
ποιήσεως, οὐδὲν μὲν παρ᾽ αὑτῶν λέγοντες, τὰ δ᾽
poetry nothing indeed from themselves saying the-things but
ἐκείνων ῥαψῳδοῦντες καὶ τῶν πρότερον ἄλλοις τισὶν
of-those reciting and of-the-things before by-others some
εἰρημένων τὰ χαριέστατα μνημονεύοντες·
said the most-graceful remembering

19 ἀποδεξαμένων δὲ τῶν περιεστώτων τὴν διατριβὴν αὐτῶν
having-approved and the bystanders the discourse of-them
ἕνα τὸν τολμηρότατον ἐπιχειρῆσαί με διαβάλλειν, λέγονθ᾽
one the most-daring to-attempt me to-slander saying
ὡς ἐγὼ πάντων καταφρονῶ τῶν τοιούτων, καὶ τάς τε
that I all despise the such and the both
φιλοσοφίας τὰς τῶν ἄλλων καὶ τὰς παιδείας ἁπάσας
philosophies the of-the others and the educations all
ἀναιρῶ, καί φημι πάντας ληρεῖν πλὴν τοὺς μετεσχηκότας
abolish and say all to-babble except the-ones having-shared
τῆς ἐμῆς διατριβῆς· τούτων δὲ ῥηθέντων ἀηδῶς τινας
of-the my occupation these and having-been-said unpleasantly some
τῶν παρόντων διατεθῆναι πρὸς ἡμᾶς.
of-the present to-be-disposed toward us

20 ὡς μὲν οὖν ἐλυπήθην καὶ συνεταράχθην ἀκούσας
how indeed then I-was-pained and was-confounded having-heard
ἀποδέξασθαί τινας τοὺς λόγους τούτους, οὐκ ἂν
to-have-approved some the words these not —
δυναίμην εἰπεῖν· ᾤμην γὰρ οὕτως ἐπιφανὴς εἶναι τοῖς
I-could to-say I-thought for so conspicuous to-be against-the
ἀλαζονευομένοις πολεμῶν καὶ περὶ ἐμαυτοῦ μετρίως
boasters warring and about myself moderately

διειλεγμένος, μᾶλλον δὲ ταπεινῶς, ὥστε μηδέν' ἄν ποτε
having-discoursed more but humbly that no-one — ever
γενέσθαι πιστὸν τῶν λεγόντων ὡς ἐγὼ τοιαύταις
to-become believing of-the-ones saying that I such
ἀλαζονείαις ἐχρησάμην.
boastings used
ἀλλὰ γὰρ οὐκ ἀλόγως ὠδυράμην ἐν ἀρχῇ τὴν ἀτυχίαν 21
but for not unreasonably I-lamented in beginning the misfortune
τὴν παρακολουθοῦσάν μοι πάντα τὸν χρόνον ἐν τοῖς
the attending me all the time in the
τοιούτοις· αὕτη γάρ ἐστιν αἰτία καὶ τῆς ψευδολογίας τῆς
such-things this for is cause both of-the lying the
περί με γιγνομένης καὶ τῶν διαβολῶν καὶ τοῦ φθόνου
about me arising and of-the slanders and of-the envy
καὶ τοῦ μὴ δύνασθαί με τυχεῖν τῆς δόξης ἧς ἄξιός εἰμι,
and of-the not to-be-able me to-obtain the reputation which worthy I-am
μηδὲ τῆς ὁμολογουμένης, μηδ' ἣν ἔχουσί τινες τῶν
nor the agreed-upon nor which have some of-the-ones
πεπλησιακότων μοι καὶ πανταχῇ τεθεωρηκότων ἡμᾶς.
having-associated with-me and everywhere having-observed us

II · WHO IS EDUCATED

Unsure whether to answer the sophists who slander him, he decides to declare his views on education and the poets. He does not despise the education the ancestors left, and he praises the newer studies of geometry, astronomy, and eristic dialogues; he urges the young to toil at them as training, though for older men he no longer thinks them fitting, since some who have mastered them are no better in their private lives. Then he asks whom he calls educated: those who handle each day's affairs well and hit the occasion; who deal fittingly and justly with those they meet and bear others' offensiveness good-naturedly; who master their pleasures and bear misfortunes bravely; and, greatest of all, who are not corrupted by success. He would

speak of Homer and Hesiod, but that would be untimely. He turns to his theme, the city's benefactions to the Greeks, which he will compare with those of Sparta, the city most praised: Athens settled the Cyclades and drove the Carians out.

22 ταῦτα μὲν οὖν οὐχ οἷόν τ᾽ ἄλλως ἔχειν, ἀλλ᾽ ἀνάγκη
these-things indeed then not possible — otherwise to-be but necessity
στέργειν τοῖς ἤδη συμβεβηκόσι.
to-be-content with-the-things already having-happened
πολλῶν δέ μοι λόγων ἐφεστώτων, ἀπορῶ πότερον
many but to-me speeches pressing I-am-at-a-loss whether
ἀντικατηγορῶ τῶν εἰθισμένων ἀεί τι ψεύδεσθαι
I-should-counter-accuse the-ones accustomed always something to-lie
περί μου καὶ λέγειν ἀνεπιτήδειον τολμώντων· ἀλλ᾽ εἰ
about me and to-say unsuitable daring but if
φανείην σπουδάζων καὶ πολλοὺς λόγους ποιούμενος
I-should-appear being-earnest and many speeches making
περὶ ἀνθρώπων οὓς οὐδεὶς ὑπείληφεν ἀξίους εἶναι λόγου,
about men whom no-one has-supposed worthy to-be of-speech
δικαίως ἂν μωρὸς εἶναι δοκοίην.
justly — foolish to-be I-should-seem

23 ἀλλὰ τούτους ὑπεριδὼν ἀπολογῶμαι πρὸς τοὺς ἀδίκως
but these having-disregarded should-I-defend-myself to the-ones unjustly
μοι τῶν ἰδιωτῶν φθονοῦντας, καὶ πειρῶμαι διδάσκειν
me of-the private-men envying and should-I-try to-teach
αὐτοὺς ὡς οὐ δικαίως οὐδὲ προσηκόντως περί μου ταύτην
them that not justly nor fittingly about me this
ἔχουσι τὴν γνώμην; καὶ τίς οὐκ ἂν καταγνοίη μου πολλὴν
they-have the opinion and who not — would-convict me of-much
ἄνοιαν, εἰ τοὺς μηδὲν δι᾽ ἕτερον δυσκόλως πρός με
folly if the-ones nothing because-of other ill toward me
διακειμένους ἢ διὰ τὸ δοκεῖν χαριέντως εἰρηκέναι
disposed than because-of the to-seem gracefully to-have-spoken

περί τινων, τούτους οἰηθείην ὁμοίως διαλεχθεὶς ὥσπερ
about some these I-should-think alike having-discoursed as
πρότερον παύσειν ἐπὶ τοῖς λεγομένοις λυπουμένους,
before to-be-going-to-stop at the-things said pained
ἀλλ᾽ οὐ μᾶλλον ἀλγήσειν, ἄλλως τε κἂν φανῶ μηδὲ
but not more to-be-going-to-be-hurt otherwise both and-if I-appear not-even
νῦν πω τηλικοῦτος ὢν πεπαυμένος παραληρῶν;
now yet so-old being having-ceased babbling
ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖνο ποιεῖν οὐδεὶς ἄν μοι συμβουλεύσειεν, 24
but truly not-even that to-do no-one — me would-advise
ἀμελήσαντι τούτων καὶ μεταξὺ καταβαλόντι περαίνειν τὸν
having-neglected these and midway having-dropped to-finish the
λόγον, ὃν προῄρημαι βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν
speech which I-have-chosen wishing to-show the city
ἡμῶν πλειόνων ἀγαθῶν αἰτίαν γεγενημένην τοῖς Ἕλλησιν
our of-more goods cause having-become to-the Greeks
ἢ τὴν Λακεδαιμονίων· εἰ γὰρ τοῦτ᾽ ἤδη ποιοίην μήτε
than the of-Lacedaemonians if for this now I-should-do neither
τέλος ἐπιθεὶς τοῖς γεγραμμένοις μήτε συγκλείσας
end having-put to-the-things written nor having-joined
τὴν ἀρχὴν τῶν ῥηθήσεσθαι μελλόντων τῇ τελευτῇ
the beginning of-the-things to-be-said going to-the end
τῶν ἤδη προειρημένων, ὅμοιος ἂν εἶναι δόξαιμι
of-the-things already said-before like — to-be I-should-seem
τοῖς εἰκῇ καὶ φορτικῶς καὶ χύδην ὅ τι ἂν ἐπέλθῃ
to-the-ones at-random and vulgarly and confusedly what ever — occurs
λέγουσιν· ἃ φυλακτέον ἡμῖν ἐστιν.
saying which must-be-guarded-against for-us is
κράτιστον οὖν ἐξ ἁπάντων τούτων, περὶ ὧν τὸ τελευταῖόν 25
best then of all these about which the last
με διέβαλλον ἀποφηνάμενον ἃ δοκεῖ μοι, τότ᾽ ἤδη λέγειν
me they-slandered having-declared what seems to-me then now to-speak

περὶ ὧν ἐξ ἀρχῆς διενοήθην· οἶμαι γάρ, ἢν ἐξενέγκω
about what from beginning I-intended I-think for if I-publish
γράψας καὶ ποιήσω φανερὰν ἣν ἔχω γνώμην περί τε
having-written and make evident which I-have opinion about both
τῆς παιδείας καὶ τῶν ποιητῶν, παύσειν αὐτοὺς ψευδεῖς
the education and the poets to-be-going-to-stop them false
πλάττοντας αἰτίας καὶ λέγοντας ὅ τι ἂν τύχωσιν.
fabricating charges and saying what ever — they-chance

26 τῆς μὲν οὖν παιδείας τῆς ὑπὸ τῶν προγόνων
the indeed then education the by the ancestors
καταλειφθείσης τοσούτου δέω καταφρονεῖν, ὥστε καὶ
left so-far I-am-from to-despise that also
τὴν ἐφ' ἡμῶν κατασταθεῖσαν ἐπαινῶ, λέγω δὲ τήν τε
the in our-time established I-praise I-mean and the both
γεωμετρίαν καὶ τὴν ἀστρολογίαν καὶ τοὺς διαλόγους τοὺς
geometry and the astronomy and the dialogues the
ἐριστικοὺς καλουμένους, οἷς οἱ μὲν νεώτεροι μᾶλλον
eristic so-called in-which the indeed younger more
χαίρουσι τοῦ δέοντος, τῶν δὲ πρεσβυτέρων οὐδεὶς ἔστιν
delight than-the needful of-the but older no-one is
ὅστις ἂν ἀνεκτοὺς αὐτοὺς εἶναι φήσειεν.
who — tolerable them to-be would-say

27 ἀλλ' ὅμως ἐγὼ τοῖς ὡρμημένοις ἐπὶ ταῦτα
but nevertheless I the-ones having-set-out on these-things
παρακελεύομαι πονεῖν καὶ προσέχειν τὸν νοῦν ἅπασι
I-urge to-toil and to-turn the mind to-all
τούτοις, λέγων ὡς εἰ καὶ μηδὲν ἄλλο δύναται τὰ
these saying that if even nothing other is-able the
μαθήματα ταῦτα ποιεῖν ἀγαθόν, ἀλλ' οὖν ἀποτρέπει γε
studies these to-do good but anyway it-turns-away at-least
τοὺς νεωτέρους πολλῶν ἄλλων ἁμαρτημάτων. τοῖς μὲν
the younger from-many other errors for-the indeed

οὖν τηλικούτοις οὐδέποτ᾽ ἂν εὑρεθῆναι νομίζω διατριβὰς
then so-young never — to-be-found I-think occupations
ὠφελιμωτέρας τούτων οὐδὲ μᾶλλον πρεπούσας·
more-beneficial than-these nor more fitting
τοῖς δὲ πρεσβυτέροις καὶ τοῖς εἰς ἄνδρας δεδοκιμασμένοις 28
for-the but older and the-ones into men approved
οὐκέτι φημὶ τὰς μελέτας ταύτας ἁρμόττειν. ὁρῶ γὰρ ἐνίους
no-longer I-say the practices these to-suit I-see for some
τῶν ἐπὶ τοῖς μαθήμασι τούτοις οὕτως ἀπηκριβωμένων
of-the-ones in the studies these so having-become-exact
ὥστε καὶ τοὺς ἄλλους διδάσκειν, οὔτ᾽ εὐκαίρως ταῖς
as also the others to-teach neither opportunely the
ἐπιστήμαις αἷς ἔχουσι χρωμένους, ἔν τε ταῖς ἄλλαις
knowledges which they-have using in both the other
πραγματείαις ταῖς περὶ τὸν βίον ἀφρονεστέρους ὄντας
businesses the about the life more-senseless being
τῶν μαθητῶν· ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν.
than-their pupils I-shrink for to-say than-their servants
τὴν αὐτὴν δὲ γνώμην ἔχω καὶ περὶ τῶν δημηγορεῖν 29
the same and opinion I-have also about the-ones to-harangue
δυναμένων καὶ τῶν περὶ τὴν γραφὴν τὴν τῶν λόγων
able and the-ones in the writing the of-the speeches
εὐδοκιμούντων, ὅλως δὲ περὶ ἁπάντων τῶν περὶ τὰς
well-reputed altogether and about all the-ones in the
τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις διαφερόντων.
arts and the sciences and the faculties excelling
οἶδα γὰρ καὶ τούτων τοὺς πολλοὺς οὔτε τὰ περὶ σφᾶς
I-know for also of-these the many neither the-things about them-
αὐτοὺς καλῶς διῳκηκότας οὔτ᾽ ἐν ταῖς ἰδίαις συνουσίαις
-selves well having-managed nor in the private associations
ἀνεκτοὺς ὄντας, τῆς τε δόξης τῆς τῶν συμπολιτευομένων
tolerable being of-the both reputation the of-the fellow-citizens

ὀλιγωροῦντας, ἄλλων τε πολλῶν καὶ μεγάλων ἁμαρτημάτων
neglecting of-others and many and great errors
γέμοντας· ὥστ᾽ οὐδὲ τούτους ἡγοῦμαι μετέχειν τῆς ἕξεως
full so-that not-even these I-think to-share of-the habit
περὶ ἧς ἐγὼ τυγχάνω διαλεγόμενος.
about which I happen discoursing

30 τίνας οὖν καλῶ πεπαιδευμένους, ἐπειδὴ τὰς τέχνας καὶ
whom then do-I-call educated since the arts and
τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις ἀποδοκιμάζω; πρῶτον
the sciences and the faculties I-reject first
μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ
indeed the-ones well dealing with-the affairs the by
τὴν ἡμέραν ἑκάστην προσπίπτουσι, καὶ τὴν δόξαν ἐπιτυχῆ
the day each befalling and the judgment hitting
τῶν καιρῶν ἔχοντας καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ
of-the occasions having and able as for the most-part
στοχάζεσθαι τοῦ συμφέροντος·
to-aim-at the advantage

31 ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς
then the-ones fittingly and justly associating with-the-ones
ἀεὶ πλησιάζουσι, καὶ τὰς μὲν τῶν ἄλλων ἀηδίας
always approaching and the indeed of-the others unpleasantnesses
καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας, σφᾶς δ᾽
and offensiveness good-naturedly and easily bearing them- but
αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς
-selves as possible lightest and most-moderate to-the
συνοῦσι παρέχοντας· ἔτι τοὺς τῶν μὲν ἡδονῶν ἀεὶ
companions furnishing further the-ones the indeed pleasures always
κρατοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους, ἀλλ᾽
mastering the but misfortunes not too being-worsted but

ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους καὶ τῆς φύσεως ἀξίως
manfully in them being-disposed and of-the nature worthily
ἧς μετέχοντες τυγχάνομεν· τέταρτον,
which sharing we-happen fourth
ὅπερ μέγιστον, τοὺς μὴ διαφθειρομένους ὑπὸ τῶν 32
which-very greatest the-ones not corrupted by the
εὐπραγιῶν μηδ' ἐξισταμένους αὑτῶν μηδ' ὑπερηφάνους
successes nor departing from-themselves nor arrogant
γιγνομένους, ἀλλ' ἐμμένοντας τῇ τάξει τῇ τῶν εὖ
becoming but abiding in-the rank the of-the-ones well
φρονούντων, καὶ μὴ μᾶλλον χαίροντας τοῖς διὰ τύχην
thinking and not more rejoicing at-the through fortune
ὑπάρξασιν ἀγαθοῖς ἢ τοῖς διὰ τὴν αὑτῶν φύσιν καὶ
existing goods than at-the through the their-own nature and
φρόνησιν ἐξ ἀρχῆς γιγνομένοις. τοὺς δὲ μὴ μόνον πρὸς
wisdom from beginning arising the-ones but not only toward
ἓν τούτων ἀλλὰ καὶ πρὸς ἅπαντα ταῦτα τὴν ἕξιν τῆς
one of-these but also toward all these the habit of-the
ψυχῆς εὐάρμοστον ἔχοντας, τούτους φημὶ καὶ φρονίμους
soul well-tuned having these I-say both wise
εἶναι καὶ τελέους ἄνδρας καὶ πάσας ἔχειν τὰς ἀρετάς.
to-be and perfect men and all to-have the virtues
περὶ μὲν οὖν τῶν πεπαιδευμένων τυγχάνω ταῦτα 33
about indeed then the educated I-happen these-things
γιγνώσκων. περὶ δὲ τῆς Ὁμήρου καὶ τῆς Ἡσιόδου καὶ
judging about but the of-Homer and the of-Hesiod and
τῆς τῶν ἄλλων ποιήσεως ἐπιθυμῶ μὲν εἰπεῖν, οἶμαι γὰρ
the of-the others poetry I-desire indeed to-speak I-think for
ἂν παῦσαι τοὺς ἐν τῷ Λυκείῳ ῥαψῳδοῦντας τἀκείνων
— to-stop the-ones in — Lyceum reciting the-things-of-those
καὶ ληροῦντας περὶ αὐτῶν, αἰσθάνομαι δ' ἐμαυτὸν
and babbling about them I-perceive but myself

ἔξω φερόμενον τῆς συμμετρίας τῆς συντεταγμένης τοῖς
outside being-carried of-the proportion the arranged for-the
προοιμίοις.
preambles

34 ἔστι δ' ἀνδρὸς νοῦν ἔχοντος μὴ τὴν εὐπορίαν ἀγαπᾶν,
it-is and of-a-man sense having not the abundance to-love
ἢν ἔχῃ τις περὶ τῶν αὐτῶν πλείω τῶν ἄλλων εἰπεῖν,
if has anyone about the same-things more than-the others to-say
ἀλλὰ τὴν εὐκαιρίαν διαφυλάττειν ὑπὲρ ὧν ἂν ἀεὶ τυγχάνῃ
but the timeliness to-keep about what — always he-happens
διαλεγόμενος· ὅπερ ἐμοὶ ποιητέον ἐστίν. περὶ μὲν οὖν τῶν
discoursing which-very for-me must-be-done is about indeed then the
ποιητῶν αὖθις ἐροῦμεν, ἢν μή με προανέλῃ τὸ γῆρας, ἢ περὶ
poets again we-shall-speak if not me cuts-off-first the old-age or about
σπουδαιοτέρων πραγμάτων ἔχω τι λέγειν ἢ τούτων.
more-serious affairs I-have something to-say than these

35 περὶ δὲ τῶν τῆς πόλεως εὐεργεσιῶν τῶν εἰς τοὺς Ἕλληνας
about but the of-the city benefactions the to the Greeks
ἤδη ποιήσομαι τοὺς λόγους, οὐχ ὡς οὐ πλείους ἐπαίνους
now I-shall-make the speeches not as not more praises
πεποιημένος περὶ αὐτῆς ἢ σύμπαντες οἱ περὶ τὴν
having-made about it than all-together the-ones about the
ποίησιν καὶ τοὺς λόγους ὄντες· οὐ μὴν ὁμοίως καὶ νῦν.
poetry and the speeches being not however alike also now
τότε μὲν γὰρ ἐν λόγοις περὶ ἑτέρων πραγμάτων ἐμεμνήμην
then indeed for in speeches about other affairs I-had-mentioned
αὐτῆς, νῦν δὲ περὶ ταύτης τὴν ὑπόθεσιν ποιησάμενος.
it now but about this the subject having-made

36 οὐκ ἀγνοῶ δ' ἡλίκος ὢν ὅσον ἔργον ἐνίσταμαι τὸ
not I-am-ignorant and how-old being how-great a-task I-undertake in-the
μέγεθος, ἀλλ' ἀκριβῶς εἰδὼς καὶ πολλάκις εἰρηκὼς ὅτι τὰ
size but exactly knowing and often having-said that the

μὲν μικρὰ τῶν πραγμάτων ῥᾴδιον τοῖς λόγοις αὐξῆσαι,
indeed small of-the affairs easy for-the speeches to-magnify
τοῖς δ' ὑπερβάλλουσι τῶν ἔργων καὶ τῷ μεγέθει καὶ
for-the but surpassing of-the deeds both in-the size and
τῷ κάλλει χαλεπὸν ἐξισῶσαι τοὺς ἐπαίνους.
in-the beauty hard to-make-equal the praises
ἀλλ' ὅμως οὐδὲν μᾶλλον ἀποστατέον αὐτῶν ἐστιν, 37
but nevertheless in-nothing more must-be-desisted from-them it-is
ἀλλ' ἐπιτελεστέον, ἤν περ ἔτι ζῆν δυνηθῶμεν, ἄλλως
but must-be-completed if very still to-live we-be-able otherwise
τε καὶ πολλῶν με παροξυνόντων γράφειν αὐτόν, πρῶτον
both and many me urging to-write it first
μὲν τῶν εἰθισμένων ἀσελγῶς κατηγορεῖν τῆς πόλεως
indeed of-the-ones accustomed insolently to-accuse the city
ἡμῶν, ἔπειτα τῶν χαριέντως μὲν ἀπειροτέρως δὲ καὶ
our then of-the-ones gracefully indeed more-inexpertly but and
καταδεεστέρως ἐπαινούντων αὐτήν,
more-inadequately praising it
ἔτι δὲ τῶν ἑτέρων μᾶλλον εὐλογεῖν τολμώντων οὐκ 38
further and of-the-ones others more to-eulogize daring not
ἀνθρωπίνως ἀλλ' οὕτως ὥστε πολλοὺς ἀντιτάττεσθαι πρὸς
humanly but so that many to-be-ranged against
αὐτούς, πάντων δὲ μάλιστα τῆς ἡλικίας τῆς παρούσης,
them of-all and most the age the present
ἣ τοὺς ἄλλους πέφυκεν ἀποτρέπειν· ἐλπίζω γὰρ, ἢν μὲν
which the others is-wont to-deter I-hope for if indeed
κατορθώσω, μείζω λήψεσθαι δόξαν τῆς ὑπαρχούσης,
I-succeed greater to-be-going-to-get reputation than-the existing
ἢν δ' ἐνδεέστερον τύχω διαλεχθείς, πολλῆς συγγνώμης
if but more-deficiently I-happen having-discoursed much pardon
τεύξεσθαι παρὰ τῶν ἀκουόντων.
to-be-going-to-obtain from the hearers

39 ἃ μὲν οὖν ἐβουλήθην καὶ περὶ ἐμαυτοῦ καὶ περὶ τῶν ἄλλων
what indeed then I-wished both about myself and about the others
ὥσπερ χορὸς πρὸ τοῦ ἀγῶνος προαναβαλέσθαι ταῦτ᾽
as a-chorus before the contest to-prelude these-things
ἐστίν. ἡγοῦμαι δὲ χρῆναι τοὺς βουλομένους ἐγκωμιάσαι
are I-think and to-be-necessary the-ones wishing to-eulogize
τινὰ τῶν πόλεων ἀκριβῶς καὶ δικαίως μὴ μόνον περὶ
some of-the cities exactly and justly not only about
αὐτῆς ποιεῖσθαι τοὺς λόγους ἧς προῃρημένοι τυγχάνουσιν,
it to-make the speeches which having-chosen they-happen
ἀλλ᾽ ὥσπερ τὴν πορφύραν καὶ τὸν χρυσὸν θεωροῦμεν καὶ
but as the purple and the gold we-view and
δοκιμάζομεν ἕτερα παραδεικνύοντες τῶν καὶ τὴν ὄψιν
test other-things setting-beside of-the-ones both the look
ὁμοίαν ἐχόντων καὶ τῆς τιμῆς τῆς αὐτῆς ἀξιουμένων,
like having and of-the value the same deemed-worthy
40 οὕτω καὶ ταῖς πόλεσι παριστάναι μὴ τὰς μικρὰς ταῖς
so also to-the cities to-set-beside not the small to-the
μεγάλαις, μηδὲ τὰς πάντα τὸν χρόνον ὑφ᾽ ἑτέραις οὔσας
great nor the-ones all the time under others being
ταῖς ἄρχειν εἰθισμέναις, μηδὲ τὰς σώζεσθαι δεομένας
to-the-ones to-rule accustomed nor the-ones to-be-saved needing
πρὸς τὰς σώζειν δυναμένας, ἀλλὰ τὰς παραπλησίαν
beside the-ones to-save able but the-ones similar
καὶ τὴν δύναμιν ἐχούσας καὶ περὶ τὰς αὐτὰς πράξεις
both the power having and about the same actions
γεγενημένας καὶ ταῖς ἐξουσίαις ὁμοίαις κεχρημένας· οὕτω
having-been and the resources like having-used so
γὰρ ἂν μάλιστα τῆς ἀληθείας τύχοιεν.
for — most the truth they-would-hit

ἢν δή τις ἡμᾶς τὸν τρόπον τοῦτον σκοπῆται καὶ 41
if indeed anyone us the way this should-consider and
παραβάλλῃ μὴ πρὸς τὴν τυχοῦσαν πόλιν ἀλλὰ πρὸς
should-compare not with the chance city but with
τὴν Σπαρτιατῶν, ἣν οἱ μὲν πολλοὶ μετρίως ἐπαινοῦσιν,
the of-Spartiates which the indeed many moderately praise
ἔνιοι δέ τινες ὥσπερ τῶν ἡμιθέων ἐκεῖ πεπολιτευμένων
some but certain as of-the demigods there having-lived
μέμνηνται περὶ αὐτῶν, φανησόμεθα καὶ τῇ δυνάμει καὶ
make-mention of them we-shall-appear both in-the power and
ταῖς πράξεσι καὶ ταῖς εὐεργεσίαις ταῖς περὶ τοὺς Ἕλληνας
in-the actions and in-the benefactions the toward the Greeks
πλέον ἀπολελοιπότες αὐτοὺς ἢ ἐκεῖνοι τοὺς ἄλλους.
more having-surpassed them than those the others
τοὺς μὲν οὖν παλαιοὺς ἀγῶνας τοὺς ὑπὲρ τῶν Ἑλλήνων 42
the indeed then ancient contests the for the Greeks
γεγενημένους ὕστερον ἐροῦμεν, νῦν δὲ ποιήσομαι περὶ
having-been later we-shall-speak now but I-shall-make about
ἐκείνων τοὺς λόγους ἀρξάμενος, ἐπειδὴ κατέσχον τὰς πόλεις
those the speech having-begun when they-occupied the cities
τὰς Ἀχαιίδας καὶ πρὸς Ἀργείους καὶ Μεσσηνίους διείλοντο
the Achaean and with Argives and Messenians divided
τὴν χώραν· ἐντεῦθεν γὰρ προσήκει διαλέγεσθαι περὶ αὐτῶν.
the land from-there for it-befits to-discourse about them
οἱ μὲν τοίνυν ἡμέτεροι πρόγονοι φανήσονται τήν τε πρὸς
the indeed then our ancestors will-appear the both toward
τοὺς Ἕλληνας ὁμόνοιαν καὶ τὴν πρὸς τοὺς βαρβάρους
the Greeks concord and the toward the barbarians
ἔχθραν, ἣν παρέλαβον ἐκ τῶν Τρωικῶν, διαφυλάττοντες
enmity which they-inherited from the Trojan-affairs preserving
καὶ μένοντες ἐν τοῖς αὐτοῖς.
and remaining in the same

43 καὶ πρῶτον μὲν τὰς Κυκλάδας νήσους, περὶ ἃς
and first indeed — Cyclades islands about which
ἐγένοντο πολλαὶ πραγματεῖαι κατὰ τὴν Μίνω τοῦ
arose many troubles in the of-Minos the
Κρητὸς δυναστείαν, ταύτας τὸ τελευταῖον ὑπὸ Καρῶν
Cretan dominion these at-the last by Carians
κατεχομένας, ἐκβαλόντες ἐκείνους οὐκ ἐξιδιώσασθαι τὰς
held having-expelled them not to-appropriate the
χώρας ἐτόλμησαν, ἀλλὰ τοὺς μάλιστα βίου τῶν
lands they-dared but the-ones most of-livelihood of-the
Ἑλλήνων δεομένους κατῴκισαν εἰς αὐτάς·
Greeks lacking they-settled in them

III · ATHENS AND SPARTA COMPARED

Athens founded many great cities on both mainlands, drove the barbarians from the sea, and taught the Greeks, while Sparta in the same years seized the cities and lands of its neighbors. In the Persian War Sparta led the fleet but contributed ten triremes; the Athenians, made homeless, supplied the most ships, Themistocles was the cause of the victory, and the allies took the leadership from Sparta and gave it to Athens. Each city then held the empire of the sea in turn: Athens persuaded its allies to adopt democracy, the constitution it loved, while Sparta set ten men as masters of each city; Sparta held its empire barely ten years, Athens sixty-five, and both cities, hated, fell into war. In that war Athens held out ten years against Greeks and barbarians alike, while Sparta, beaten in one battle by the Thebans alone, lost everything; Athens recovered quickly, Sparta not at all. Its critics cite the allies' trials at Athens, but Sparta put more Greeks to death untried.

44 καὶ μετὰ ταῦτα πολλὰς πόλεις ἐφ' ἑκατέρας τῶν ἠπείρων
and after these-things many cities on each of-the mainlands
καὶ μεγάλας ἔκτισαν, καὶ τοὺς μὲν βαρβάρους ἀνέστειλαν
and great they-founded and the indeed barbarians they-drove-back

ἀπὸ τῆς θαλάττης, τοὺς δ' Ἕλληνας ἐδίδαξαν ὃν
from the sea the but Greeks they-taught in-what
τρόπον διοικοῦντες τὰς αὑτῶν πατρίδας καὶ πρὸς οὓς
way administering the their-own fatherlands and against whom
πολεμοῦντες μεγάλην ἂν τὴν Ἑλλάδα ποιήσειαν.
warring great — — Greece they-would-make
Λακεδαιμόνιοι δὲ περὶ τὸν αὐτὸν χρόνον τοσοῦτον ἀπέσχον 45
Lacedaemonians but about the same time so-far kept
τοῦ πράττειν τι τῶν αὐτῶν τοῖς ἡμετέροις καὶ τοῦ
from-the to-do anything of-the same as-the ours and from-the
τοῖς μὲν βαρβάροις πολεμεῖν τοὺς δ' Ἕλληνας εὐεργετεῖν,
the indeed barbarians to-war-on the but Greeks to-benefit
ὥστ' οὐδ' ἡσυχίαν ἄγειν ἠθέλησαν, ἀλλ' ἔχοντες πόλιν
that not-even quiet to-keep they-were-willing but having a-city
ἀλλοτρίαν καὶ χώραν οὐ μόνον ἱκανήν, ἀλλ' ὅσην
others' and land not only sufficient but as-much-as
οὐδεμία πόλις τῶν Ἑλληνίδων, οὐκ ἔστερξαν ἐπὶ τούτοις,
no city of-the Greek not they-were-content with these
ἀλλὰ μαθόντες ἐξ αὐτῶν τῶν συμβεβηκότων κατὰ 46
but having-learned from themselves the events according-to
μὲν τοὺς νόμους τάς τε πόλεις καὶ τὰς χώρας τούτων
indeed the laws the both cities and the lands of-these
εἶναι δοκούσας, τῶν ὀρθῶς καὶ νομίμως κτησαμένων,
to-be seeming the-ones rightly and lawfully having-acquired
κατὰ δὲ τὴν ἀλήθειαν τούτων γιγνομένας, τῶν τὰ
according-to but the truth of-these becoming the-ones the
περὶ τὸν πόλεμον μάλιστ' ἀσκούντων καὶ νικᾶν ἐν ταῖς
about the war most practicing and to-conquer in the
μάχαις τοὺς πολεμίους δυναμένων, ταῦτα διανοηθέντες,
battles the enemies able these-things having-considered
ἀμελήσαντες γεωργιῶν καὶ τεχνῶν καὶ τῶν ἄλλων
having-neglected farming and crafts and the other

ἁπάντων, οὐδὲν ἐπαύοντο κατὰ μίαν ἑκάστην τῶν πόλεων
all nothing they-ceased by one each of-the cities
τῶν ἐν Πελοποννήσῳ πολιορκοῦντες καὶ κακῶς ποιοῦντες,
the in Peloponnese besieging and badly treating
ἕως ἁπάσας κατεστρέψαντο πλὴν τῆς Ἀργείων.
until all they-subdued except the of-Argives

47 συνέβαινεν οὖν ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν, αὐξάνεσθαί
it-came-about then from what indeed we were-doing to-be-increased
τε τὴν Ἑλλάδα καὶ τὴν Εὐρώπην κρείττω γίγνεσθαι
both — Greece and — Europe stronger to-become
τῆς Ἀσίας, καὶ πρὸς τούτοις τῶν μὲν Ἑλλήνων τοὺς
— than-Asia and besides these of-the indeed Greeks the-ones
ἀπορουῦντας πόλεις λαμβάνειν καὶ χώρας, τῶν δὲ βαρβάρων
lacking cities to-get and lands of-the but barbarians
τοὺς εἰθισμένους ὑβρίζειν ἐκπίπτειν ἐκ τῆς αὑτῶν καὶ
the-ones accustomed to-outrage to-be-expelled from the their-own and
φρονεῖν ἔλαττον ἢ πρότερον· ἐξ ὧν δὲ Σπαρτιᾶται, τὴν
to-think less than before from what but Spartiates the
ἐκείνων μόνην μεγάλην γίγνεσθαι, καὶ πασῶν μὲν τῶν
their only great to-become and of-all indeed the
ἐν Πελοποννήσῳ πόλεων ἄρχειν, ταῖς δ' ἄλλαις φοβερὰν
in Peloponnese cities to-rule to-the but others fearsome
εἶναι καὶ πολλῆς θεραπείας τυγχάνειν παρ' αὐτῶν.
to-be and much courting to-obtain from them

48 ἐπαινεῖν μὲν οὖν δίκαιόν ἐστι τὴν τοῖς ἄλλοις πολλῶν
to-praise indeed then just it-is the-one for-the others of-many
ἀγαθῶν αἰτίαν γεγενημένην, δεινὴν δὲ νομίζειν τὴν αὑτῇ
goods cause having-been terrible but to-think the-one for-itself
τὰ συμφέροντα διαπραττομένην, καὶ φίλους μὲν ποιεῖσθαι
the advantageous-things achieving and friends indeed to-make
τοὺς ὁμοίως αὑτοῖς τε καὶ τοῖς ἄλλοις χρωμένους,
the-ones alike themselves both and the others treating

φοβεῖσθαι δὲ καὶ δεδιέναι τοὺς πρὸς σφᾶς μὲν αὐτοὺς
to-fear but and to-dread the-ones toward them- indeed -selves
ὡς δυνατὸν οἰκειότατα διακειμένους, πρὸς δὲ τοὺς ἄλλους
as possible most-intimately disposed toward but the others
ἀλλοτρίως καὶ πολεμικῶς τὴν αὑτῶν διοικοῦντας.
foreignly and hostilely the their-own administering
τὴν μὲν οὖν ἀρχὴν ἑκατέρα τοῖν πολέοιν τοιαύτην
the indeed then beginning each of-the-two cities such
ἐποιήσατο.
made
χρόνῳ δ' ὕστερον γενομένου τοῦ Περσικοῦ πολέμου, καὶ 49
in-time and later having-arisen the Persian war and
Ξέρξου τοῦ τότε βασιλεύοντος τριήρεις μὲν συναγαγόντος
Xerxes the then reigning triremes indeed having-collected
τριακοσίας καὶ χιλίας, τῆς δὲ πεζῆς στρατιᾶς πεντακοσίας
three-hundred and thousand of-the and land army five-hundred
μὲν μυριάδας τῶν ἁπάντων, ἑβδομήκοντα δὲ τῶν μαχίμων,
indeed ten-thousands of-the all seventy but of-the fighting-men
τηλικαύτῃ δὲ δυνάμει στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας,
with-such and force having-campaigned against the Greeks
Σπαρτιᾶται μὲν ἄρχοντες Πελοποννησίων εἰς τὴν 50
Spartiates indeed leading Peloponnesians into the
ναυμαχίαν τὴν ποιήσασαν ῥοπὴν ἅπαντος τοῦ πολέμου
sea-battle the having-made turn of-all the war
δέκα μόνον συνεβάλοντο τριήρεις, οἱ δὲ πατέρες ἡμῶν
ten only contributed triremes the but fathers our
ἀνάστατοι γενόμενοι καὶ τὴν πόλιν ἐκλελοιπότες διὰ
homeless having-become and the city having-abandoned because-of
τὸ μὴ τετειχίσθαι κατ' ἐκεῖνον τὸν χρόνον πλείους ναῦς
the not to-have-been-walled at that the time more ships

παρέσχοντο καὶ μείζω δύναμιν ἐχούσας ἢ σύμπαντες οἱ
furnished and greater power having than all-together the-ones
συγκινδυνεύσαντες· καὶ στρατηγὸν οἱ μὲν Εὐρυβιάδην,
sharing-the-danger and general the-ones indeed Eurybiades
51 ὃς εἰ τέλος ἐπέθηκεν οἷς διενοήθη πράττειν, οὐδὲν
who if end had-put to-what he-intended to-do nothing
ἂν ἐκώλυεν ἀπολωλέναι τοὺς Ἕλληνας, οἱ δ'
— would-have-prevented to-have-perished the Greeks the-ones but
ἡμέτεροι Θεμιστοκλέα τὸν ὁμολογουμένως ἅπασιν αἴτιον
ours Themistocles the-one agreedly by-all cause
εἶναι δόξαντα καὶ τοῦ τὴν ναυμαχίαν γενέσθαι κατὰ
to-be having-seemed both of-the the sea-battle to-take-place according-to
τρόπον καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν ἐκείνῳ τῷ
plan and of-the other all the in that the
χρόνῳ κατορθωθέντων.
time successes
52 τεκμήριον δὲ μέγιστον· ἀφελόμενοι γὰρ Λακεδαιμονίους
proof and greatest having-taken-away for Lacedaemonians
τὴν ἡγεμονίαν οἱ συγκινδυνεύσαντες τοῖς ἡμετέροις
the leadership the-ones having-shared-the-danger to-the ours
παρέδοσαν. καίτοι τίνας ἄν τις κριτὰς ἱκανωτέρους
handed-over and-yet whom — anyone judges more-competent
ποιήσαιτο καὶ πιστοτέρους τῶν τότε πραχθέντων ἢ
could-make and more-trustworthy of-the then deeds than
τοὺς ἐν αὐτοῖς τοῖς ἀγῶσι παραγενομένους; τίνα δ' ἄν
the-ones in themselves the contests present what and —
τις εὐεργεσίαν εἰπεῖν ἔχοι ταύτης μείζω, τῆς ἅπασαν
anyone benefaction to-name could than-this greater the all
τὴν Ἑλλάδα σῶσαι δυνηθείσης;
— Greece to-save having-been-able

μετὰ ταῦτα τοίνυν συνέβη κυρίαν ἑκατέραν γενέσθαι τῆς 53
after these-things then it-happened mistress each to-become of-the
ἀρχῆς τῆς κατὰ θάλατταν, ἣν ὁπότεροι ἂν κατάσχωσιν,
empire the by sea which whichever — hold
ὑπηκόους ἔχουσι τὰς πλείστας τῶν πόλεων. ὅλως μὲν
subject have the most of-the cities altogether indeed
οὖν οὐδετέραν ἐπαινῶ· πολλὰ γὰρ ἄν τις αὐταῖς
then neither I-praise many-things for — anyone them
ἐπιτιμήσειεν· οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν ἐπιμέλειαν
could-censure not however but also about the administration
ταύτην οὐκ ἔλαττον αὐτῶν διηνέγκαμεν ἢ περὶ τὰς
this not less than-them we-excelled than about the
πράξεις τὰς ὀλίγῳ πρότερον εἰρημένας.
actions the a-little before spoken-of
οἱ μὲν γὰρ ἡμέτεροι πατέρες ἔπειθον τοὺς συμμάχους 54
the indeed for our fathers persuaded the allies
ποιεῖσθαι πολιτείαν ταύτην, ἥνπερ αὐτοὶ διετέλουν
to-adopt constitution this which-very themselves continued
ἀγαπῶντες· ὃ σημεῖόν ἐστιν εὐνοίας καὶ φιλίας, ὅταν
loving which sign is of-goodwill and friendship whenever
τινὲς παραινῶσι τοῖς ἄλλοις χρῆσθαι τούτοις, ἅπερ ἂν
some advise to-the others to-use these which —
σφίσιν αὐτοῖς συμφέρειν ὑπολάβωσιν· Λακεδαιμόνιοι δὲ
for-them- -selves to-be-advantageous they-suppose Lacedaemonians but
κατέστησαν οὔθ' ὁμοίαν τῇ παρ' αὑτοῖς οὔτε ταῖς ἄλλοθί
established neither like to-the among themselves nor to-the elsewhere
που γεγενημέναις, ἀλλὰ δέκα μόνους ἄνδρας κυρίους
somewhere having-existed but ten only men masters
ἑκάστης τῆς πόλεως ἐποίησαν, ὧν ἐπιχειρήσας ἄν τις
of-each of-the city they-made whom having-attempted — anyone

κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς οὐδὲν ἂν
to-accuse three or four days continuously no —
μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνοις ἡμαρτημένων.
part to-have-spoken would-seem of-the by-those errors-committed
55 καθ' ἕκαστον μὲν οὖν διεξιέναι περὶ τῶν τοιούτων
by each indeed then to-go-through about the such
καὶ τοσούτων τὸ πλῆθος ἀνόητόν ἐστιν· ὀλίγα δὲ
and so-many in-the number foolish it-is few-things but
καθ' ἁπάντων εἰπεῖν, ἃ τοῖς ἀκούσασιν ὀργὴν ἀξίαν
over all to-say which in-the hearers anger worthy
ἐμποιήσειεν ἂν τῶν πεπραγμένων, νεώτερος μὲν ὢν ἴσως
would-produce — of-the deeds-done younger indeed being perhaps
ἂν ἐξεῦρον, νῦν δ' οὐδὲν ἐπέρχεταί μοι τοιοῦτον,
— I-would-have-found now but nothing occurs to-me such
ἀλλ' ἅπερ ἅπασιν, ὅτι τοσοῦτον ἐκεῖνοι διήνεγκαν ἀνομίᾳ
but what to-all that so-much those excelled in-lawlessness
καὶ πλεονεξίᾳ τῶν προγεγενημένων, ὥστ' οὐ μόνον
and greed than-the-ones before so-that not only
αὑτοὺς ἀπώλεσαν καὶ τοὺς φίλους καὶ τὰς πατρίδας τὰς
themselves they-ruined and the friends and the fatherlands the
αὑτῶν, ἀλλὰ καὶ Λακεδαιμονίους πρὸς τοὺς συμμάχους
their-own but also Lacedaemonians with the allies
διαβαλόντες εἰς τοιαύτας καὶ τοσαύτας συμφορὰς ἐνέβαλον,
having-discredited into such and so-great misfortunes they-threw
ὅσας οὐδεὶς πώποτ' αὐτοῖς γενήσεσθαι προσεδόκησεν.
as-many-as no-one ever to-them to-be-going-to-happen expected
56 μάλιστα μὲν οὖν ἐντεῦθεν ἄν τις δυνηθείη κατιδεῖν
most indeed then from-here — anyone could-be-able to-perceive
ὅσῳ μετριώτερον καὶ πραότερον ἡμεῖς τῶν πραγμάτων
by-how-much more-moderately and more-gently we the affairs
ἐπεμελήθημεν, δεύτερον δ' ἐκ τοῦ ῥηθήσεσθαι μέλλοντος·
managed second and from the to-be-said going

Σπαρτιᾶται μὲν γὰρ ἔτη δέκα μόλις ἐπεστάτησαν αὐτῶν,
Spartiates indeed for years ten scarcely presided-over them
ἡμεῖς δὲ πέντε καὶ ἑξήκοντα συνεχῶς κατέσχομεν τὴν
we but five and sixty continuously held the
ἀρχήν. καίτοι πάντες ἴσασι τὰς πόλεις τὰς ὑφ' ἑτέροις
empire and-yet all know the cities the under others
γιγνομένας, ὅτι πλεῖστον χρόνον τούτοις παραμένουσιν ὑφ'
coming that longest time to-these remain by
ὧν ἂν ἐλάχιστα κακὰ πάσχουσαι τυγχάνωσιν.
whom — least evils suffering they-happen
ἐκ τούτων τοίνυν ἀμφότεραι μισηθεῖσαι κατέστησαν εἰς 57
from these then both hated came into
πόλεμον καὶ ταραχήν, ἐν ᾗ τὴν μὲν ἡμετέραν εὕροι
war and turmoil in which the indeed ours would-find
τις ἄν, ἁπάντων αὐτῇ καὶ τῶν Ἑλλήνων καὶ τῶν
anyone — all on-it both of-the Greeks and of-the
βαρβάρων ἐπιθεμένων, ἔτη δέκα τούτοις ἀντισχεῖν δυνηθεῖσαν,
barbarians having-attacked years ten these to-withstand having-been-able
Λακεδαιμονίους δὲ κρατοῦντας ἔτι κατὰ γῆν, πρὸς Θηβαίους
Lacedaemonians but mastering still by land against Thebans
μόνους πολεμήσαντας καὶ μίαν μάχην ἡττηθέντας, ἁπάντων
alone having-warred and one battle defeated of-all
ἀποστερηθέντας ὧν εἶχον, καὶ παραπλησίαις ἀτυχίαις
deprived of-what they-had and like misfortunes
χρησαμένους καὶ συμφοραῖς αἴσπερ ἡμεῖς,
having-met and disasters as-very we
καὶ πρὸς τούτοις τὴν μὲν ἡμετέραν πόλιν ἐν ἐλάττοσιν 58
and besides these the indeed our city in fewer
ἔτεσιν ἀναλαβοῦσαν αὑτὴν ἢ κατεπολεμήθη, Σπαρτιάτας
years having-recovered itself than it-was-subdued Spartiates
δὲ μετὰ τὴν ἧτταν μηδ' ἐν πολλαπλασίῳ χρόνῳ
but after the defeat not-even in many-times-as-long time

δυνηθέντας καταστῆσαι σφᾶς αὐτοὺς εἰς τὴν αὐτὴν ἕξιν
having-been-able to-restore them- -selves to the same condition
ἐξ ἧς περ ἐξέπεσον, ἀλλ᾽ ὁμοίως ἔτι καὶ νῦν ἔχοντας.
from which very they-fell but alike still also now being
59 τὰ τοίνυν πρὸς τοὺς βαρβάρους ὡς ἑκάτεροι
the-things then toward the barbarians how each-of-us
προσηνέχθημεν, δηλωτέον· ἔτι γὰρ τοῦτο λοιπόν ἐστιν. ἐπὶ
we-conducted-ourselves must-be-shown still for this remaining is in
μὲν γὰρ τῆς ἡμετέρας δυναστείας οὐκ ἐξῆν αὐτοῖς
indeed for the our dominion not it-was-possible for-them
οὔτ᾽ ἐντὸς Ἅλυος πεζῷ στρατοπέδῳ καταβαίνειν οὔτε
either within Halys with-land army to-come-down or
μακροῖς πλοίοις ἐπὶ τάδε πλεῖν Φασήλιδος· ἐπὶ δὲ τῆς
with-long ships to this-side to-sail of-Phaselis in but the
Λακεδαιμονίων οὐ μόνον τοῦ πορεύεσθαι καὶ πλεῖν ὅποι
of-Lacedaemonians not only of-the to-march and to-sail wherever
βουληθεῖεν ἐξουσίαν ἔλαβον, ἀλλὰ καὶ δεσπόται πολλῶν
they-wished license they-got but even masters of-many
Ἑλληνίδων πόλεων κατέστησαν.
Greek cities became
60 τὴν δὴ καὶ τὰς συνθήκας τὰς πρὸς βασιλέα γενναιοτέρας
the-one indeed also the treaties the with the-king nobler
καὶ μεγαλοφρονεστέρας ποιησαμένην, καὶ τῶν πλείστων
and prouder having-made and of-the most
καὶ μεγίστων τοῖς μὲν βαρβάροις κακῶν τοῖς δ᾽ Ἕλλησιν
and greatest for-the indeed barbarians evils for-the but Greeks
ἀγαθῶν αἰτίαν γεγενημένην, ἔτι δὲ τῆς Ἀσίας τὴν
goods cause having-been further and — of-Asia the
παραλίαν καὶ πολλὴν ἄλλην χώραν τοὺς μὲν πολεμίους
coast and much other land the indeed enemies
ἀφελομένην τοῖς δὲ συμμάχοις κτησαμένην,
having-deprived for-the but allies having-acquired

καὶ τοὺς μὲν ὑβρίζοντας τοὺς δ' ἀποροῦντας παύσασαν, 61
and the-ones indeed outraging the-ones but in-need having-stopped
πρὸς δὲ τούτοις ὑπὲρ αὑτῆς τε πολεμήσασαν ἄμεινον
besides and these for itself both having-warred better
τῆς εὐδοκιμούσης περὶ τὰ τοιαῦτα καὶ τὰς συμφορὰς
than-the-one well-reputed in the such-things and the misfortunes
θᾶττον διαλυσαμένην τῶν αὐτῶν τούτων, πῶς οὐ δίκαιον
faster having-resolved than-the same these how not just
ἐπαινεῖν καὶ τιμᾶν μᾶλλον ἢ τὴν ἐν ἅπασι τούτοις
to-praise and to-honor more than the-one in all these
ἀπολελειμμένην;
left-behind
περὶ μὲν οὖν τῶν πραχθέντων παρ' ἄλληλα καὶ τῶν
about indeed then the-things done beside one-another and the
κινδύνων τῶν ἅμα καὶ πρὸς τοὺς αὐτοὺς γενομένων
dangers the at-the-same-time and against the same having-arisen
ἐν τῷ παρόντι ταῦτ' εἶχον εἰπεῖν.
in the present these-things I-had to-say
οἶμαι δὲ τοὺς ἀηδῶς ἀκούοντας τῶν λόγων τούτων 62
I-think and the-ones unpleasantly hearing the words these
τοῖς μὲν εἰρημένοις οὐδὲν ἀντερεῖν ὡς οὐκ ἀληθέσιν
to-the indeed things-said nothing to-be-going-to-gainsay as not true
οὖσιν, οὐδ' αὖ πράξεις ἑτέρας ἔξειν εἰπεῖν περὶ ἃς
being nor again actions other to-be-going-to-have to-name about which
Λακεδαιμόνιοι γενόμενοι πολλῶν ἀγαθῶν αἴτιοι τοῖς Ἕλλησι
Lacedaemonians having-become of-many goods causes to-the Greeks
κατέστησαν, κατηγορεῖν δὲ τῆς πόλεως ἡμῶν ἐπιχειρήσειν,
were-made to-accuse but the city our to-be-going-to-attempt
ὅπερ ἀεὶ ποιεῖν εἰώθασι, καὶ διεξιέναι τὰς 63
which-very always to-do they-are-accustomed and to-go-through the
δυσχερεστάτας τῶν πράξεων τῶν ἐπὶ τῆς ἀρχῆς τῆς κατὰ
most-offensive of-the actions the in the empire the by

θάλατταν γεγενημένων, καὶ τάς τε δίκας καὶ τὰς κρίσεις
sea having-occurred and the both lawsuits and the trials
τὰς ἐνθάδε γιγνομένας τοῖς συμμάχοις καὶ τὴν τῶν φόρων
the here held for-the allies and the of-the tributes
εἴσπραξιν διαβαλεῖν, καὶ μάλιστα διατρίψειν
exaction to-be-going-to-misrepresent and most to-be-going-to-dwell
περὶ τὰ Μηλίων πάθη καὶ Σκιωναίων καὶ Τορωναίων,
on the of-Melians sufferings and of-Scionaeans and of-Toronaeans
οἰομένους ταῖς κατηγορίαις ταύταις καταρρυπανεῖν τὰς
thinking with-the accusations these to-be-going-to-besmirch the
τῆς πόλεως εὐεργεσίας τὰς ὀλίγῳ πρότερον εἰρημένας.
of-the city benefactions the a-little before spoken-of
64 ἐγὼ δὲ πρὸς ἅπαντα μὲν τὰ δικαίως ἂν ῥηθέντα κατὰ
I but to all indeed the-things justly — said against
τῆς πόλεως οὔτ' ἂν δυναίμην ἀντειπεῖν οὔτ' ἂν ἐπιχειρήσαιμι
the city neither — I-could to-gainsay nor — I-would-attempt
τοῦτο ποιεῖν· καὶ γὰρ ἂν αἰσχυνοίμην, ὅπερ εἶπον ἤδη
this to-do and for — I-would-be-ashamed which-very I-said already
καὶ πρότερον, εἰ τῶν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους
also before if the others not-even the gods unerring
εἶναι νομιζόντων ἐγὼ γλιχοίμην καὶ πειρῴμην πείθειν ὡς
to-be thinking I should-strive and should-try to-persuade that
περὶ οὐδὲν πώποτε τὸ κοινὸν ἡμῶν πεπλημμέληκεν·
in nothing ever the commonwealth our has-erred
65 οὐ μὴν ἀλλ' ἐκεῖνό γ' οἶομαι ποιήσειν, τήν τε
not however but that at-least I-think to-be-going-to-do the both
πόλιν τὴν Σπαρτιατῶν ἐπιδείξειν περὶ τὰς πράξεις τὰς
city the of-Spartiates to-be-going-to-show about the actions the
προειρημένας πολὺ πικροτέραν καὶ χαλεπωτέραν τῆς
before-mentioned much more-bitter and harsher than-the
ἡμετέρας γεγενημένην, τούς θ' ὑπὲρ ἐκείνων βλασφημοῦντας
ours having-been the-ones and for those slandering

καθ᾽ ἡμῶν ὡς δυνατὸν ἀφρονέστατα διακειμένους καὶ τοῦ
against us as possible most-senselessly disposed and of-the
κακῶς ἀκούειν ὑφ᾽ ἡμῶν τοὺς φίλους αὐτῶν αἰτίους ὄντας·
ill to-hear from us the friends their causes being
ἐπειδὰν γὰρ τὰ τοιαῦτα κατηγορῶσιν, οἷς ἔνοχοι 66
when for the such-things they-accuse of-which liable
Λακεδαιμόνιοι μᾶλλον τυγχάνουσιν ὄντες, οὐκ ἀποροῦμεν
Lacedaemonians more happen being not we-are-at-a-loss
τοῦ περὶ ἡμῶν ῥηθέντος μεῖζον ἁμάρτημα κατ᾽ ἐκείνων
than-the about us said greater error against them
εἰπεῖν.
to-name
οἷον καὶ νῦν, ἢν μνησθῶσι τῶν ἀγώνων τῶν τοῖς
such-as also now if they-mention the trials the for-the
συμμάχοις ἐνθάδε γιγνομένων, τίς ἐστιν οὕτως ἀφυής, ὅστις
allies here held who is so ungifted who
οὐχ εὑρήσει πρὸς τοῦτ᾽ ἀντειπεῖν ὅτι πλείους Λακεδαιμόνιοι
not will-find to this to-answer that more Lacedaemonians
τῶν Ἑλλήνων ἀκρίτους ἀπεκτόνασι τῶν παρ᾽ ἡμῖν, ἐξ
of-the Greeks untried have-killed than-the-ones with us from
οὗ τὴν πόλιν οἰκοῦμεν, εἰς ἀγῶνα καὶ κρίσιν καταστάντων;
which the city we-inhabit into trial and judgment having-come

IV · THE PRAISE OF AGAMEMNON

Athens' tribute, too, saved the allies' democracy and freedom, since under Sparta they fell into oligarchy and worse evils. Athens erred only over tiny islets, while Sparta uprooted the greatest cities of the Peloponnese and holds their land, cities that had furnished leaders against Troy: Messene, which gave Nestor, and Argos, which gave Agamemnon. That leads Isocrates into the praise of Agamemnon: a king who held the greatest honor ever given a Greek, the command of all Greece; who reconciled the cities, gathered the army, and wronged no Greek city; who campaigned not for his own land but for Greece; and who kept a vast army ten

years at Troy not by pay but by wisdom and good counsel, and ended the war with Troy's capture. Yet he has less fame than men who achieved nothing, since hearers prefer marvels and fictions to the truth. Isocrates admits he has wandered far from his subject.

67 τοιαῦτα δὲ καὶ περὶ τῆς εἰσπράξεως τῶν φόρων
such-things and also about the exaction of-the tributes
ἤν τι λέγωσιν, ἔξομεν εἰπεῖν· πολὺ γὰρ
if anything they-say we-shall-have to-say much for
ἐπιδείξομεν συμφορώτερα πράξαντας τοὺς ἡμετέρους ἢ
we-shall-show more-advantageous-things having-done the ours than
Λακεδαιμονίους ταῖς πόλεσι ταῖς τὸν φόρον ἐνεγκούσαις.
Lacedaemonians for-the cities the the tribute having-brought
πρῶτον μὲν γὰρ οὐ προσταχθὲν ὑφ' ἡμῶν τοῦτ' ἐποίουν,
first indeed for not commanded by us this they-did
ἀλλ' αὐτοὶ γνόντες, ὅτε περ τὴν ἡγεμονίαν ἡμῖν τὴν
but themselves having-decided when very the leadership to-us the
κατὰ θάλατταν ἔδοσαν·
by sea they-gave
68 ἔπειτ' οὐχ ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας ἔφερον, ἀλλ'
then not for the safety the our they-paid but
ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ἐλευθερίας τῆς αὑτῶν καὶ τοῦ
for the democracy and the freedom the their-own and the
μὴ περιπεσεῖν ὀλιγαρχίας γενομένης τηλικούτοις κακοῖς τὸ
not to-fall oligarchy having-arisen into-such evils in-the
μέγεθος, ἡλίκοις ἐπὶ τῶν δεκαδαρχιῶν καὶ τῆς δυναστείας
size as under the decarchies and the dominion
τῆς Λακεδαιμονίων. ἔτι δ' οὐκ ἐκ τούτων ἔφερον ἐξ ὧν
the of-Lacedaemonians further and not from these they-paid from which
αὐτοὶ διέσωσαν, ἀλλ' ἀφ' ὧν δι' ἡμᾶς εἶχον· ὑπὲρ ὧν,
themselves they-had-saved but from what through us they-had for which

εἰ καὶ μικρὸς λογισμὸς ἐνῆν αὐτοῖς, δικαίως ἂν χάριν 69
if even small reasoning was-in them justly — gratitude
εἶχον ἡμῖν. παραλαβόντες γὰρ τὰς πόλεις αὐτῶν
they-would-have to-us having-received for the cities their
τὰς μὲν παντάπασιν ἀναστάτους γεγενημένας ὑπὸ τῶν
the-ones indeed altogether uprooted having-been by the
βαρβάρων, τὰς δὲ πεπορθημένας, εἰς τοῦτο προηγάγομεν,
barbarians the-others but sacked to this we-advanced
ὥστε μικρὸν μέρος τῶν γιγνομένων ἡμῖν διδόντας
that small part of-the-things accruing to-us giving
μηδὲν ἐλάττους ἔχειν τοὺς οἴκους Πελοποννησίων τῶν
in-nothing smaller to-have the houses than-Peloponnesians the
οὐδένα φόρον ὑποτελούντων.
no tribute paying
περὶ τοίνυν τῶν ἀναστάτων γεγενημένων ὑφ᾽ ἑκατέρας τῶν 70
about then the uprooted having-been by each of-the
πόλεων, ὃ μόνοις τινὲς ἡμῖν ὀνειδίζουσιν, ἐπιδείξομεν
cities which alone some us reproach we-shall-show
πολὺ δεινότερα πεποιηκότας οὓς ἐπαινοῦντες
much more-terrible-things having-done the-ones-whom praising
διατελοῦσιν. ἡμῖν μὲν γὰρ συνέπεσε περὶ νησύδρια τοιαῦτα
they-continue to-us indeed for it-happened about islets such
καὶ τηλικαῦτα τὸ μέγεθος ἐξαμαρτεῖν, ἃ πολλοὶ τῶν
and so-small in-the size to-err which many of-the
Ἑλλήνων οὐδ᾽ ἴσασιν, ἐκεῖνοι δὲ τὰς μεγίστας πόλεις
Greeks not-even know they but the greatest cities
τῶν ἐν Πελοποννήσῳ καὶ τὰς πανταχῇ προεχούσας τῶν
of-the in Peloponnese and the everywhere excelling the
ἄλλων ἀναστάτους ποιήσαντες αὐτοὶ τἀκείνων ἔχουσιν,
others uprooted having-made themselves the-things-of-those hold

71 ἃς ἄξιον ἦν, εἰ καὶ μηδὲν αὐταῖς πρότερον ὑπῆρχεν ἀγαθόν,
which worthy it-was if even nothing to-them before existed good
τῆς μεγίστης δωρεᾶς παρὰ τῶν Ἑλλήνων τυχεῖν διὰ τὴν
of-the greatest gift from the Greeks to-obtain because-of the
στρατείαν τὴν ἐπὶ Τροίαν, ἐν ᾗ σφᾶς τε αὐτὰς παρέσχον
expedition the against Troy in which them- both -selves furnished
πρωτευούσας καὶ τοὺς ἡγεμόνας ἀρετὰς ἔχοντας οὐ μόνον
foremost and the leaders virtues having not only
τὰς τοιαύτας ὧν πολλοὶ καὶ τῶν φαύλων κοινωνοῦσιν, ἀλλὰ
the such which many even of-the mean share but
κἀκείνας ὧν οὐδεὶς ἂν πονηρὸς ὢν δυνηθείη μετασχεῖν.
also-those which no-one — wicked being could-be-able to-share
72 Μεσσήνη μὲν γὰρ Νέστορα παρέσχε τὸν φρονιμώτατον
Messene indeed for Nestor furnished the wisest
ἁπάντων τῶν κατ᾽ ἐκεῖνον τὸν χρόνον γενομένων,
of-all the in that the time having-been
Λακεδαίμων δὲ Μενέλαον τὸν διὰ σωφροσύνην καὶ
Lacedaemon but Menelaus the-one for temperance and
δικαιοσύνην μόνον ἀξιωθέντα Διὸς γενέσθαι κηδεστήν, ἡ δ᾽
justice alone deemed-worthy of-Zeus to-become son-in-law the and
Ἀργείων πόλις Ἀγαμέμνονα τὸν οὐ μίαν οὐδὲ δύο σχόντα
of-Argives city Agamemnon the-one not one nor two having
μόνον ἀρετάς, ἀλλὰ πάσας ὅσας ἂν ἔχοι τις εἰπεῖν,
only virtues but all as-many-as — could anyone name
73 καὶ ταύτας οὐ μετρίως ἀλλ᾽ ὑπερβαλλόντως· οὐδένα
and these not moderately but surpassingly no-one
γὰρ εὑρήσομεν τῶν ἁπάντων οὔτ᾽ ἰδιωτέρας πράξεις
for we-shall-find of-the all either more-peculiar actions
μεταχειρισάμενον οὔτε καλλίους οὔτε μείζους οὔτε τοῖς
having-handled or finer or greater or for-the
Ἕλλησιν ὠφελιμωτέρας οὔτε πλειόνων ἐπαίνων ἀξίας.
Greeks more-beneficial or of-more praises worthy

καὶ τούτοις οὕτω μὲν ἀπηριθμημένοις εἰκότως ἄν τινες
and these so indeed enumerated reasonably — some
ἀπιστήσειαν, μικρῶν δὲ περὶ ἑκάστου ῥηθέντων ἅπαντες
would-disbelieve small-things but about each spoken all
ἂν ἀληθῆ με λέγειν ὁμολογήσειαν.
— the-truth me to-speak would-agree
οὐ δύναμαι δὲ κατιδεῖν, ἀλλ᾽ ἀπορῶ ποίοις ἂν λόγοις 74
not I-am-able and to-see but I-am-at-a-loss with-what-sort — words
μετὰ ταῦτα χρησάμενος ὀρθῶς εἴην βεβουλευμένος.
after these-things having-used rightly I-should-be having-deliberated
αἰσχύνομαι μὲν γάρ, εἰ τοσαῦτα περὶ τῆς Ἀγαμέμνονος
I-am-ashamed indeed for if so-much about the of-Agamemnon
ἀρετῆς προειρηκὼς μηδενὸς μνησθήσομαι τῶν ὑπ᾽ ἐκείνου
virtue having-said-before of-none I-shall-make-mention of-the by him
πεπραγμένων, ἀλλὰ δόξω τοῖς ἀκούουσιν ὅμοιος εἶναι
done but I-shall-seem to-the hearers like to-be
τοῖς ἀλαζονευομένοις καὶ λέγουσιν ὅ τι ἂν τύχωσιν·
to-the boasters and saying what ever — they-chance
ὁρῶ δὲ τὰς πράξεις τὰς ἔξω λεγομένας τῶν ὑποθέσεων
I-see but the actions the outside spoken of-the subjects
οὐκ ἐπαινουμένας ἀλλὰ ταραχώδεις εἶναι δοκούσας, καὶ
not praised but disorderly to-be seeming and
πολλοὺς μὲν ὄντας τοὺς κακῶς χρωμένους αὐταῖς,
many indeed being the-ones badly using them
πολὺ δὲ πλείους τοὺς ἐπιτιμῶντας. διὸ δέδοικα μὴ καὶ περὶ 75
much but more the-ones censuring therefore I-fear lest also about
ἐμὲ συμβῇ τι τοιοῦτον. οὐ μὴν ἀλλ᾽ αἱροῦμαι βοηθῆσαι
me happen something such not however but I-choose to-help
τῷ ταὐτὸν ἐμοί τε καὶ πολλοῖς πεπονθότι, καὶ διημαρτηκότι
the-one the-same as-me both and many having-suffered and having-missed
τῆς δόξης ἧς προσῆκε τυχεῖν αὐτόν, καὶ μεγίστων μὲν
the reputation which it-befitted to-get him and of-greatest indeed

ἀγαθῶν αἰτίῳ γεγενημένῳ περὶ ἐκεῖνον τὸν χρόνον, ἧττον δ'
goods cause having-been about that the time less but
ἐπαινουμένῳ τῶν οὐδὲν ἄξιον λόγου διαπεπραγμένων.
praised than-the-ones nothing worthy of-speech having-achieved
76 τί γὰρ ἐκεῖνος ἐνέλιπεν, ὃς τηλικαύτην μὲν ἔσχε τιμήν,
what for he left-wanting who such indeed had honor
ἧς εἰ πάντες συνελθόντες μείζω ζητοῖεν, οὐδέποτ'
than-which if all having-come-together greater should-seek never
ἂν εὑρεῖν δυνηθεῖεν; μόνος γὰρ ἁπάσης τῆς Ἑλλάδος
— to-find they-could-be-able alone for of-all — Greece
ἠξιώθη γενέσθαι στρατηγός. ὁπότερον δέ, εἴθ' ὑπὸ
he-was-deemed-worthy to-become general whether and either by
πάντων αἱρεθεὶς εἴτ' αὐτὸς κτησάμενος, οὐκ ἔχω λέγειν.
all chosen or himself having-acquired-it not I-can say
ὁποτέρως δ' οὖν συμβέβηκεν, οὐδεμίαν ὑπερβολὴν λέλοιπε
whichever-way but anyway it-happened no excess he-has-left
τῆς περὶ αὑτὸν δόξης τοῖς ἄλλως πως τιμηθεῖσιν.
of-the about himself glory to-the-ones otherwise somehow honored
77 ταύτην δὲ λαβὼν τὴν δύναμιν οὐκ ἔστιν ἥν τινα τῶν
this and having-got the power not there-is which any of-the
Ἑλληνίδων πόλεων ἐλύπησεν, ἀλλ' οὕτως ἦν πόρρω
Greek cities he-pained but so he-was far
τοῦ περί τινας ἐξαμαρτεῖν, ὥστε παραλαβὼν τοὺς
from-the against any to-err that having-taken-over the
Ἕλληνας ἐν πολέμῳ καὶ ταραχαῖς καὶ πολλοῖς κακοῖς
Greeks in war and confusions and many evils
ὄντας τούτων μὲν αὐτοὺς ἀπήλλαξεν, εἰς ὁμόνοιαν δὲ
being from-these indeed them he-freed into concord but
καταστήσας τὰ μὲν περιττὰ τῶν ἔργων καὶ τερατώδη
having-brought the indeed extraordinary of-the deeds and marvelous

καὶ μηδὲν ὠφελοῦντα τοὺς ἄλλους ὑπερεῖδε, στρατόπεδον
and in-nothing benefiting the others he-disdained army
δὲ συστήσας ἐπὶ τοὺς βαρβάρους ἤγαγεν.
but having-assembled against the barbarians he-led
τούτου δὲ κάλλιον στρατήγημα καὶ τοῖς Ἕλλησιν 78
than-this and finer stratagem and for-the Greeks
ὠφελιμώτερον οὐδεὶς φανήσεται πράξας οὔτε τῶν
more-beneficial no-one will-appear having-done either of-the-ones
κατ᾽ ἐκεῖνον τὸν χρόνον εὐδοκιμησάντων οὔτε τῶν
in that the time well-reputed or of-the-ones
ὕστερον ἐπιγενομένων. ἃ ᾽κεῖνος πράξας καὶ τοῖς ἄλλοις
later coming-after which he having-done and to-the others
ὑποδείξας οὐχ οὕτως εὐδοκίμησεν, ὡς προσῆκεν αὐτόν,
having-shown not so was-well-reputed as befitted him
διὰ τοὺς μᾶλλον ἀγαπῶντας τὰς θαυματοποιίας τῶν
because-of the-ones more loving the marvels than-the
εὐεργεσιῶν καὶ τὰς ψευδολογίας τῆς ἀληθείας, ἀλλὰ
benefactions and the falsehoods than-the truth but
τοιοῦτος γενόμενος ἐλάττω δόξαν ἔχει τῶν οὐδὲ
such having-been less reputation he-has than-the-ones not-even
μιμήσασθαι τολμησάντων αὐτόν.
to-imitate having-dared him
οὐ μόνον δ᾽ ἐπὶ τούτοις ἄν τις ἐπαινέσειεν αὐτόν, ἀλλὰ 79
not only and for these-things — anyone would-praise him but
καὶ ἐφ᾽ οἷς περὶ τὸν αὐτὸν χρόνον ἔπραξεν. εἰς τοῦτο γὰρ
also for what about the same time he-did to this for
μεγαλοφροσύνης ἦλθεν, ὥστ᾽ οὐκ ἀπέχρησεν αὐτῷ λαβεῖν
of-greatness-of-mind he-came that not it-sufficed him to-take
στρατιώτας τῶν ἰδιωτῶν ὁπόσους ἐξ ἑκάστης ἐβουλήθη
soldiers of-the private-men as-many-as from each he-wished
τῆς πόλεως, ἀλλὰ τοὺς βασιλεῖς τοὺς ποιοῦντας ἐν ταῖς
of-the city but the kings the-ones doing in the

αὑτῶν ὅ τι βουληθεῖεν καὶ τοῖς ἄλλοις προστάττοντας,
their-own what ever they-wished and to-the others giving-orders
τούτους ἔπεισεν ὑφ' αὑτῷ γενέσθαι, καὶ συνακολουθεῖν
these he-persuaded under himself to-become and to-follow
ἐφ' οὓς ἂν ἡγῆται, καὶ ποιεῖν τὸ προσταττόμενον,
against whomever — he-leads and to-do the-thing commanded
καὶ βασιλικὸν βίον ἀφέντας στρατιωτικῶς ζῆν,
and royal life having-let-go soldier-like to-live
80 ἔτι δὲ κινδυνεύειν καὶ πολεμεῖν οὐχ ὑπὲρ τῆς σφετέρας
further and to-run-risks and to-war not for the their
αὐτῶν πατρίδος καὶ βασιλείας, ἀλλὰ λόγῳ μὲν ὑπὲρ
own fatherland and kingdom but in-word indeed for
Ἑλένης τῆς Μενελάου γυναικός, ἔργῳ δ' ὑπὲρ τοῦ μὴ
Helen the of-Menelaus wife in-deed but for the not
τὴν Ἑλλάδα πάσχειν ὑπὸ τῶν βαρβάρων μήτε τοιαῦτα
— Greece to-suffer from the barbarians either such-things
μήθ' οἷα πρότερον αὐτῇ συνέπεσε περὶ τὴν Πέλοπος μὲν
or such-as before to-it befell about the of-Pelops indeed
ἁπάσης Πελοποννήσου κατάληψιν, Δαναοῦ δὲ τῆς πόλεως
of-all Peloponnese seizure of-Danaus and of-the city
τῆς Ἀργείων, Κάδμου δὲ Θηβῶν· ὧν τίς ἄλλος φανήσεται
the of-Argives of-Cadmus and of-Thebes of-which who other will-appear
προνοηθείς, ἢ τίς ἐμποδὼν καταστὰς τοῦ μηδὲν ἔτι
having-taken-forethought or who in-the-way having-stood of-the nothing further
γενέσθαι τοιοῦτον, πλὴν τῆς ἐκείνου φύσεως καὶ δυνάμεως;
to-happen such except the his nature and power
81 τὸ τοίνυν ἐχόμενον, ὃ τῶν μὲν προειρημένων ἔλαττόν
the then following which than-the indeed said-before smaller
ἐστι, τῶν δὲ πολλάκις ἐγκεκωμιασμένων μεῖζον καὶ λόγου
is than-the but often eulogized greater and of-speech
μᾶλλον ἄξιον· στρατόπεδον γὰρ συνεληλυθὸς ἐξ ἁπασῶν
more worthy army for having-come-together from all

τῶν πόλεων, τοσοῦτον τὸ πλῆθος ὅσον εἰκός, ὃ
the cities so-great in-the number as-much-as likely which
πολλοὺς εἶχεν ἐν αὑτῷ τοὺς μὲν ἀπὸ θεῶν τοὺς δ' ἐξ
many had in itself the-ones indeed from gods the-ones but from
αὐτῶν τῶν θεῶν γεγονότας, οὐκ ὁμοίως διακειμένους τοῖς
themselves the gods born not alike disposed to-the
πολλοῖς οὐδ' ἴσον φρονοῦντας τοῖς ἄλλοις, ἀλλ' ὀργῆς
many nor equal thinking to-the others but of-wrath
καὶ θυμοῦ καὶ φθόνου καὶ φιλοτιμίας μεστούς,
and passion and envy and ambition full
ἀλλ' ὅμως τὸ τοιοῦτον ἔτη δέκα κατέσχεν οὐ μισθοφοραῖς 82
but nevertheless the such years ten he-held not by-pay
μεγάλαις οὐδὲ χρημάτων δαπάναις, αἷς νῦν ἅπαντες
great nor of-money expenditures by-which now all
δυναστεύουσιν, ἀλλὰ τῷ καὶ τῇ φρονήσει διαφέρειν καὶ
hold-power but by-the both in-the wisdom to-excel and
δύνασθαι τροφὴν ἐκ τῶν πολεμίων τοῖς στρατιώταις
to-be-able sustenance from the enemies for-the soldiers
πορίζειν, καὶ μάλιστα τῷ δοκεῖν ἐκεῖνον ἄμεινον ὑπὲρ
to-provide and most by-the to-seem him better for
τῆς τῶν ἄλλων βουλεύεσθαι σωτηρίας ἢ τοὺς ἄλλους
the of-the others to-deliberate safety than the others
περὶ σφῶν αὐτῶν.
about them- -selves
τὸ τοίνυν τέλος, ὃ πᾶσι τούτοις ἐπέθηκεν, οὐδενὸς 83
the then end which to-all these he-put of-nothing
ἧττον προσήκει θαυμάζειν· οὐ γὰρ ἀπρεπὲς οὐδ' ἀνάξιον
less it-befits to-wonder-at not for unfitting nor unworthy
τῶν προειρημένων φανήσεται ποιησάμενος, ἀλλὰ λόγῳ
of-the-things said-before he-will-appear having-made but in-word
μὲν πρὸς μίαν πόλιν πολεμήσας, ἔργῳ δ' οὐ μόνον πρὸς
indeed against one city having-warred in-deed but not only against

ἅπαντας τοὺς τὴν Ἀσίαν κατοικοῦντας ἀλλὰ καὶ πρὸς ἄλλα
all the-ones — Asia inhabiting but also against other
γένη πολλὰ τῶν βαρβάρων κινδυνεύων οὐκ ἀπεῖπεν οὐδ'
races many of-the barbarians running-risks not he-gave-up nor
ἀπῆλθε, πρὶν τήν τε πόλιν τοῦ τολμήσαντος ἐξαμαρτεῖν
departed before the both city of-the-one having-dared to-err
ἐξηνδραποδίσατο καὶ τοὺς βαρβάρους ἔπαυσεν ὑβρίζοντας.
he-enslaved and the barbarians he-stopped outraging
84 οὐκ ἀγνοῶ δὲ τὸ πλῆθος τῶν εἰρημένων περὶ τῆς
not I-am-ignorant and the multitude of-the-things said about the
Ἀγαμέμνονος ἀρετῆς, οὐδ' ὅτι τούτων καθ' ἓν μὲν ἕκαστον
of-Agamemnon virtue nor that of-these by one indeed each
εἴ τινες σκοποῖντο τί ἂν ἀποδοκιμάσαιεν, οὐδεὶς ἂν οὐδὲν
if some should-consider what — they-would-reject no-one — any
αὐτῶν ἀφελεῖν τολμήσειεν, ἐφεξῆς δὲ ἀναγιγνωσκομένων
of-them to-remove would-dare in-succession but being-read
ἅπαντες ἂν ἐπιτιμήσαιεν ὡς πολὺ πλείοσιν εἰρημένοις τοῦ
all — would-censure as by-much more said than-the
δέοντος. ἐγὼ δ' εἰ μὲν ἔλαθον ἐμαυτὸν πλεονάζων,
needful I but if indeed I-had-escaped-notice myself being-excessive
85 ᾐσχυνόμην ἄν, εἰ γράφειν ἐπιχειρῶν περὶ ὧν μηδεὶς
I-would-be-ashamed — if to-write attempting about what no-one
ἂν ἄλλος ἐτόλμησεν, οὕτως ἀναισθήτως διεκείμην· νῦν δ'
— other dared so insensibly I-were-disposed now but
ἀκριβέστερον ᾔδειν τῶν ἐπιπλήττειν μοι τολμησόντων,
more-exactly I-knew than-the-ones to-rebuke me going-to-dare
ὅτι πολλοὶ τούτοις ἐπιτιμήσουσιν· ἀλλὰ γὰρ ἡγησάμην
that many these will-censure but for I-thought
οὐχ οὕτως ἔσεσθαι δεινόν, ἢν ἐπὶ τοῦ μέρους τούτου
not so to-be-going-to-be terrible if on the part this
δόξω τισὶ τῶν καιρῶν ἀμελεῖν, ὡς ἢν περὶ ἀνδρὸς

τοιούτου διαλεγόμενος παραλίπω τι τῶν ἐκείνῳ τε
such discoursing I-should-omit anything of-the to-him both
προσόντων ἀγαθῶν κἀμοὶ προσηκόντων εἰπεῖν.
belonging goods and-to-me befitting to-say
ᾤμην δὲ καὶ παρὰ τοῖς χαριεστάτοις τῶν ἀκροατῶν 86
I-thought and also among the most-refined of-the hearers
εὐδοκιμήσειν, ἢν φαίνωμαι περὶ ἀρετῆς μὲν τοὺς
to-be-going-to-be-well-thought-of if I-appear about virtue indeed the
λόγους ποιούμενος, ὅπως δὲ ταύτης ἀξίως ἐρῶ μᾶλλον
speeches making how but of-this worthily I-shall-speak more
σπουδάζων ἢ περὶ τὴν τοῦ λόγου συμμετρίαν, καὶ
being-earnest than about the of-the speech symmetry and
ταῦτα σαφῶς εἰδὼς τὴν μὲν περὶ τὸν λόγον ἀκαιρίαν
these-things clearly knowing the indeed about the speech untimeliness
ἀδοξότερον ἐμὲ ποιήσουσαν, τὴν δὲ περὶ τὰς πράξεις
less-reputable me going-to-make the but about the actions
εὐβουλίαν αὐτοὺς τοὺς ἐπαινουμένους ὠφελήσουσαν· ἀλλ᾽
good-counsel themselves the-ones praised going-to-benefit but
ὅμως ἐγὼ τὸ λυσιτελὲς ἐάσας τὸ δίκαιον εἱλόμην.
nevertheless I the profitable having-let-go the just chose
οὐ μόνον δ᾽ ἂν εὑρεθείην ἐπὶ τοῖς νῦν λεγομένοις ταύτην 87
not only and — I-would-be-found in the now things-said this
ἔχων τὴν διάνοιαν, ἀλλ᾽ ὁμοίως ἐπὶ πάντων, ἐπεὶ καὶ
having the mind but alike in all since also
τῶν πεπλησιακότων μοι φανείην ἂν μᾶλλον χαίρων
of-the-ones having-associated with-me I-would-appear — more rejoicing
τοῖς ἐπὶ τῷ βίῳ καὶ ταῖς πράξεσιν εὐδοκιμοῦσιν ἢ
at-the-ones for the life and the actions well-reputed than
τοῖς περὶ τοὺς λόγους δεινοῖς εἶναι δοκοῦσιν. καίτοι τῶν
at-the-ones about the speeches clever to-be seeming and-yet of-the
μὲν εὖ ῥηθέντων, εἰ καὶ μηδὲν συμβαλοίμην, ἅπαντες ἂν
indeed well spoken-things if even nothing I-should-contribute all —

ἐμοὶ τὴν αἰτίαν ἀναθεῖεν, τῶν δ' ὀρθῶς πραττομένων εἰ καὶ
to-me the credit would-ascribe of-the but rightly done-things if even
πάντες εἰδεῖέν με σύμβουλον γεγενημένον, οὐδεὶς ὅστις οὐκ
all should-know me adviser having-been no-one who not
ἂν αὐτὸν τὸν μεταχειριζόμενον τὰς πράξεις ἐπαινέσειεν.
— himself the-one handling the actions would-praise
88 ἀλλὰ γὰρ οὐκ οἶδ' ὅποι τυγχάνω φερόμενος· ἀεὶ γὰρ
but for not I-know whither I-happen being-carried always for
οἰόμενος δεῖν προστιθέναι τὸ τῶν προειρημένων
thinking to-be-necessary to-add the of-the before-said
ἐχόμενον, παντάπασι πόρρω γέγονα τῆς ὑποθέσεως.
following altogether far I-have-become from-the subject
λοιπὸν οὖν ἐστιν οὐδὲν ἄλλο, πλὴν αἰτησάμενον τῷ
remaining then is nothing other except having-asked for-the
γήρᾳ συγγνώμην ὑπὲρ τῆς λήθης καὶ τῆς μακρολογίας,
old-age pardon for the forgetfulness and the prolixity
τῶν εἰθισμένων παραγίγνεσθαι τοῖς τηλικούτοις, ἐπανελθεῖν
the accustomed to-come to-the so-old to-return
εἰς τὸν τόπον ἐκεῖνον ἐξ οὗπερ εἰσέπεσον εἰς τὴν
to the place that from which-very I-fell into the
περιττολογίαν ταύτην.
superfluity this

V · SPARTA'S WRONGS TO THE GREEKS

He returns to the critics who reproach Athens with the fate of Melos and other small towns. Sparta's wrongs were greater: it turned on Argos and Messene, the cities that bore Agamemnon and Nestor and had marched with it to Troy, driving the Messenians from their land, and to please the Thebans killed the Plataeans, who alone of the Boeotians had fought beside Athens at Plataea, while Athens settled the surviving Messenians at Naupactus and made the surviving Plataeans citizens. The critics say that both cities claimed to fight for the Greeks and then did not leave them free, but most of the evils they list came from Sparta, which taught the

Greeks factions, massacres, and changes of constitution. Then came Sparta's worst acts: craving sea power, it stirred Athens' allies to revolt while treating with the king to hand him the Greeks of Asia, and enslaved those it had sworn to free; it sent Clearchus with Cyrus against the king, and, beaten at sea by Conon, made a peace handing the Greeks of Asia to the king, the most shameful treaty ever made. Those who praise Sparta will turn the argument to the constitutions.

οἶμαι δ' ἤδη καθορᾶν ὅθεν ἐπλανήθην· τοῖς γὰρ 89
I-think and now to-see whence I-wandered to-the-ones for
ὀνειδίζουσιν ἡμῶν τῇ πόλει τὰς Μηλίων καὶ τὰς τῶν
reproaching our the city the of-Melians and the of-the
τοιούτων πολιχνίων συμφορὰς ἀντέλεγον, οὐχ ὡς οὐχ
such small-towns misfortunes I-was-answering not that not
ἡμαρτημένων τούτων, ἀλλ' ἐπιδεικνύων τοὺς ἀγαπωμένους
having-been-wrong these but showing the-ones loved
ὑπ' αὐτῶν πολὺ πλείους πόλεις καὶ μείζους ἡμῶν
by them many more cities and greater than-we
ἀναστάτους πεποιηκότας, ἐν οἷς καὶ περὶ τῆς ἀρετῆς
uprooted having-made in which also about the virtue
τῆς Ἀγαμέμνονος καὶ Μενελάου καὶ Νέστορος διελέχθην,
the of-Agamemnon and of-Menelaus and of-Nestor I-discoursed
ψεῦδος μὲν οὐδὲν λέγων, πλείω δ' ἴσως τῶν μετρίων.
falsehood indeed nothing saying more but perhaps than-the moderate
τοῦτο δ' ἐποίουν ὑπολαβὼν οὐδενὸς ἔλαττον ἁμάρτημα 90
this and I-was-doing having-supposed than-none smaller error
τοῦτο δόξειν εἶναι τῶν τολμησάντων ἀναστάτους
this to-be-going-to-seem to-be of-the-ones having-dared uprooted
ποιῆσαι τὰς πόλεις τὰς γεννησάσας καὶ θρεψάσας
to-make the cities the having-begotten and having-reared
τοιούτους ἄνδρας, περὶ ὧν καὶ νῦν ἔχοι τις ἂν πολλοῖς
such men about whom also now could anyone — many
καὶ καλοῖς χρήσασθαι λόγοις. ἀλλὰ γὰρ ἴσως ἀνόητόν ἐστι
and fine use words but for perhaps foolish it-is

περὶ μίαν πρᾶξιν διατρίβειν, ὥσπερ ἀπορίας οὔσης τί
about one action to-spend-time as-if lack being of-what
ἂν ἔχοι τις εἰπεῖν περὶ τῆς ὠμότητος καὶ χαλεπότητος
— could anyone say about the cruelty and harshness
τῆς Λακεδαιμονίων, ἀλλ᾽ οὐ πολλῆς ἀφθονίας ὑπαρχούσης.
the of-Lacedaemonians but not much abundance existing
91 οἷς οὐκ ἐξήρκεσε περὶ τὰς πόλεις ταύτας καὶ τοὺς ἄνδρας
for-whom not it-sufficed against the cities these and the men
τοὺς τοιούτους ἐξαμαρτεῖν, ἀλλὰ καὶ περὶ τοὺς ἐκ τῶν
the such to-err but also against the-ones from the
αὐτῶν ὁρμηθέντας καὶ κοινὴν τὴν στρατείαν ποιησαμένους
same having-set-out and common the expedition having-made
καὶ τῶν αὐτῶν κινδύνων μετασχόντας, λέγω δὲ περὶ Ἀργείων
and of-the same dangers having-shared I-mean and about Argives
καὶ Μεσσηνίων. καὶ γὰρ τούτους ἐπεθύμησαν ταῖς αὐταῖς
and Messenians and for these they-desired with-the same
συμφοραῖς περιβαλεῖν αἴσπερ ἐκείνους· καὶ Μεσσηνίους
misfortunes to-surround as-very those and Messenians
μὲν πολιορκοῦντες οὐ πρότερον ἐπαύσαντο, πρὶν ἐξέβαλον
indeed besieging not before they-ceased before they-expelled
ἐκ τῆς χώρας, Ἀργείοις δ᾽ ὑπὲρ τῶν αὐτῶν τούτων ἔτι
from the land with-Argives and for the same these still
καὶ νῦν πολεμοῦσιν. ἃ τοίνυν περὶ Πλαταιᾶς ἔπραξαν,
also now they-war what then about Plataea they-did
92 ἄτοπος ἂν εἴην, εἰ ταῦτ᾽ εἰρηκὼς ἐκείνων μὴ μνησθείην·
strange — I-would-be if these-things having-said those not I-should-mention
ὧν ἐν τῇ χώρᾳ στρατοπεδευσάμενοι μεθ᾽ ἡμῶν καὶ τῶν
whose in the land having-encamped with us and the
ἄλλων συμμάχων, καὶ παραταξάμενοι τοῖς πολεμίοις,
other allies and having-been-drawn-up against-the enemies
καὶ θυσάμενοι τοῖς θεοῖς τοῖς ὑπ᾽ ἐκείνων ἱδρυμένοις,
and having-sacrificed to-the gods the by them established

οὐ μόνον ἠλευθερώσαμεν τῶν Ἑλλήνων τοὺς μεθ' ἡμῶν 93
not only we-freed of-the Greeks the-ones with us
ὄντας ἀλλὰ καὶ τοὺς ἀναγκασθέντας γενέσθαι μετ'
being but also the-ones compelled to-become with
ἐκείνων, καὶ ταῦτ' ἐπράξαμεν Πλαταιέας λαβόντες μόνους
them and these-things we-did Plataeans having-taken alone
Βοιωτῶν συναγωνιστάς· οὓς οὐ πολὺν χρόνον διαλιπόντες
of-Boeotians as-fellow-fighters whom not much time having-let-pass
Λακεδαιμόνιοι, χαριζόμενοι Θηβαίοις, ἐκπολιορκήσαντες
Lacedaemonians gratifying Thebans having-taken-by-siege
ἅπαντας ἀπέκτειναν πλὴν τῶν ἀποδρᾶναι δυνηθέντων.
all they-killed except the-ones to-escape having-been-able
περὶ οὓς ἡ πόλις ἡμῶν οὐδὲν ὁμοία γέγονεν ἐκείνοις·
toward whom the city our in-nothing like has-been to-those
οἱ μὲν γὰρ περί τε τοὺς εὐεργέτας τῆς Ἑλλάδος καὶ τοὺς 94
they indeed for toward both the benefactors — of-Greece and the
συγγενεῖς τοὺς αὑτῶν τὰ τοιαῦτ' ἐξαμαρτάνειν ἐτόλμησαν,
kinsmen the their-own the such-things to-err dared
οἱ δ' ἡμέτεροι Μεσσηνίων μὲν τοὺς διασωθέντας εἰς
the but ours of-Messenians indeed the-ones having-been-saved at
Ναύπακτον κατῴκισαν, Πλαταιέων δὲ τοὺς περιγενομένους
Naupactus settled of-Plataeans and the-ones surviving
πολίτας ἐποιήσαντο καὶ τῶν ὑπαρχόντων αὐτοῖς ἁπάντων
citizens made and of-the existing to-them all
μετέδοσαν. ὥστ' εἰ μηδὲν εἴχομεν ἄλλο περὶ τοῖν πολέοιν
gave-a-share so-that if nothing we-had other about the-two cities
εἰπεῖν, ἐκ τούτων ῥᾴδιον εἶναι καταμαθεῖν τὸν τρόπον
to-say from these easy to-be to-perceive the character
ἑκατέρας αὐτῶν, καὶ ποτέρα πλείους πόλεις καὶ μείζους
of-each of-them and which more cities and greater
ἀναστάτους πεποίηκεν.
uprooted has-made

95 αἰσθάνομαι δὲ πάθος μοι συμβαῖνον ἐναντίον τοῖς
I-perceive and a-feeling to-me happening contrary to-the-things
ὀλίγῳ πρότερον εἰρημένοις· τότε μὲν γὰρ εἰς ἄγνοιαν καὶ
a-little before said then indeed for into ignorance and
πλάνον καὶ λήθην ἐνέπεσον, νῦν δ' οἶδα σαφῶς ἐμαυτὸν
wandering and forgetfulness I-fell now but I-know clearly myself
οὐκ ἐμμένοντα τῇ πραότητι τῇ περὶ τὸν λόγον, ἣν εἶχον
not abiding-by the gentleness the about the speech which I-had
ὅτ' ἠρχόμην γράφειν αὐτόν, ἀλλὰ λέγειν τ' ἐπιχειροῦντα
when I-was-beginning to-write it but to-speak both attempting
περὶ ὧν οὐκ ᾤμην ἐρεῖν, θρασύτερόν τε διακείμενον
about what not I-thought to-be-going-to-say bolder and disposed
ἢ κατ' ἐμαυτόν, ἀκρατῆ τε γιγνόμενον ἐνίων ὧν
than according-to myself unmastered and becoming of-some of-what
λέγω διὰ τὸ πλῆθος τῶν εἰπεῖν ἐπιρρεόντων.
I-say because-of the multitude of-the-things to-say flowing-in
96 ἐπειδή περ οὖν ἐπελήλυθέ μοι τὸ παρρησιάζεσθαι, καὶ
since very then has-come-upon me the to-speak-freely and
λέλυκα τὸ στόμα, καὶ τοιαύτην τὴν ὑπόθεσιν ἐποιησάμην
I-have-loosened the mouth and such the subject I-made
ὥστε μήτε καλὸν εἶναί μοι μήτε δυνατὸν παραλιπεῖν
that neither fine to-be for-me nor possible to-omit
τὰς τοιαύτας πράξεις, ἐξ ὧν οἷόν τ' ἐστὶν ἐπιδεικνύναι
the such actions from which possible — it-is to-show
πλέονος ἀξίαν τὴν πόλιν ἡμῶν γεγενημένην περὶ τοὺς
of-more worth the city our having-been toward the
Ἕλληνας τῆς Λακεδαιμονίων, οὐ κατασιωπητέον οὐδὲ
Greeks than-the of-Lacedaemonians not one-must-keep-silent nor
περὶ τῶν ἄλλων κακῶν τῶν οὔπω μὲν εἰρημένων ἐν
about the other evils the not-yet indeed spoken in
δὲ τοῖς Ἕλλησι γεγενημένων, ἀλλ' ἐπιδεικτέον τοὺς μὲν
but the Greeks having-arisen but one-must-show the indeed

ἡμετέρους ὀψιμαθεῖς αὐτῶν γεγενημένους, Λακεδαιμονίους
ours late-learners of-them having-been Lacedaemonians
δὲ τὰ μὲν πρώτους τὰ δὲ μόνους ἐξαμαρτόντας.
but the indeed first the but alone having-erred
πλεῖστοι μὲν οὖν κατηγοροῦσιν ἀμφοῖν τοῖν πολέοιν, ὅτι 97
most indeed then accuse both the-two cities that
προσποιούμεναι κινδυνεῦσαι πρὸς τοὺς βαρβάρους ὑπὲρ
pretending to-have-run-risks against the barbarians for
τῶν Ἑλλήνων οὐκ εἴασαν τὰς πόλεις αὐτονόμους εἶναι καὶ
the Greeks not allowed the cities autonomous to-be and
διοικῆσαι τὰ σφέτερ᾽ αὐτῶν ὅπως ἑκάστῃ συνέφερεν, ἀλλ᾽
to-manage the their own as for-each was-advantageous but
ὥσπερ αἰχμαλώτους εἰληφυῖαι διελόμεναι κατεδουλώσαντο
as captives having-taken having-divided-up they-enslaved
πάσας αὐτάς, καὶ παραπλήσιον ἐποίησαν τοῖς παρὰ
all them and like-thing they-did to-the-ones from
μὲν τῶν ἄλλων τοὺς οἰκέτας εἰς ἐλευθερίαν ἀφαιρουμένοις,
indeed the others the servants into freedom taking-away
σφίσι δ᾽ αὐτοῖς δουλεύειν ἀναγκάζουσιν.
for-them- but -selves to-serve compelling
τοῦ δὲ λέγεσθαι ταῦτα καὶ πολὺ πλείω καὶ πικρότερα 98
of-the and to-be-said these-things and much more and more-bitter
τούτων οὐχ ἡμεῖς αἴτιοι γεγόναμεν, ἀλλ᾽ οἱ νῦν μὲν
than-these not we causes have-been but the-ones now indeed
ἐν τοῖς λεγομένοις ἡμῖν ἀντιτεταγμένοι, τὸν δ᾽ ἄλλον
in the-things said to-us ranged-against the but other
χρόνον ἐν τοῖς πραττομένοις ἅπασιν. τοὺς μὲν γὰρ
time in the-things done all the-ones indeed for
ἡμετέρους προγόνους οὐδεὶς ἂν ἐπιδείξειεν ἐν τοῖς ἐπέκεινα
our ancestors no-one — could-show in the beyond
χρόνοις τοῖς ἀναριθμήτοις οὐδεμιᾶς πόλεως οὔτε μείζονος
times the countless no city neither greater

οὔτ᾽ ἐλάττονος ἄρχειν ἐπιχειρήσαντας· Λακεδαιμονίους δὲ
nor smaller to-rule having-attempted Lacedaemonians but
πάντες ἴσασιν, ἀφ᾽ οὗ περ εἰς Πελοπόννησον εἰσῆλθον,
all know from which very into Peloponnese they-came
οὐδὲν ἄλλο πράττοντας οὐδὲ βουλευομένους πλὴν ὅπως
nothing other doing nor planning except how
μάλιστα μὲν ἁπάντων ἄρξουσιν, εἰ δὲ μή, Πελοποννησίων.
most indeed of-all they-will-rule if but not of-Peloponnesians
99 ἀλλὰ μὴν καὶ τὰς στάσεις καὶ τὰς σφαγὰς καὶ τὰς
but truly also the factions and the slaughters and the
τῶν πολιτειῶν μεταβολάς, ἃς ἀμφοτέροις τινὲς ἡμῖν
of-the constitutions changes which to-both some us
ἐπιφέρουσιν, ἐκεῖνοι μὲν ἂν φανεῖεν ἁπάσας τὰς πόλεις
impute they indeed — would-appear all the cities
πλὴν ὀλίγων μεστὰς πεποιηκότες τῶν τοιούτων συμφορῶν
except few full having-made of-the such misfortunes
καὶ νοσημάτων, τὴν δ᾽ ἡμετέραν πόλιν οὐδεὶς ἂν οὐδ᾽ εἰπεῖν
and diseases the but our city no-one — even to-say
τολμήσειε πρὸ τῆς ἀτυχίας τῆς ἐν Ἑλλησπόντῳ γενομένης
would-dare before the misfortune the in Hellespont having-happened
ὡς τοιοῦτον ἐν τοῖς συμμάχοις τι διαπραξαμένην.
that such among the allies any having-done
100 ἀλλ᾽ ἐπειδὴ Λακεδαιμόνιοι κύριοι καταστάντες τῶν Ἑλλήνων
but when Lacedaemonians masters having-become of-the Greeks
πάλιν ἐξέπιπτον ἐκ τῶν πραγμάτων, ἐν τούτοις τοῖς
again were-falling-out from the affairs in these the
καιροῖς στασιαζουσῶν τῶν ἄλλων, πόλεων δύ᾽ ἢ τρεῖς τῶν
occasions being-in-faction the other cities two or three of-the
στρατηγῶν τῶν ἡμετέρων, οὐ γὰρ ἀποκρύψομαι τἀληθές,
generals the our not for I-shall-hide the-truth

ἐξήμαρτον περί τινας αὐτῶν ἐλπίζοντες, ἢν μιμήσωνται τὰς
erred against some of-them hoping if they-imitate the
Σπαρτιατῶν πράξεις, μᾶλλον αὐτὰς δυνήσεσθαι κατασχεῖν.
of-Spartiates actions more them to-be-going-to-be-able to-hold
ὥστε δικαίως ἂν ἐκείνοις μὲν ἅπαντες ἐγκαλέσειαν ὡς 101
so-that justly — those indeed all would-accuse as
ἀρχηγοῖς γεγενημένοις καὶ διδασκάλοις τῶν τοιούτων
originators having-been and teachers of-the such
ἔργων, τοῖς δ' ἡμετέροις, ὥσπερ τῶν μαθητῶν τοῖς ὑπὸ
deeds the but ours as of-the pupils the-ones by
τῶν ὑπισχνουμένων ἐξηπατημένοις καὶ διημαρτηκόσι τῶν
the promising deceived and having-missed the
ἐλπίδων, εἰκότως ἂν συγγνώμην ἔχοιεν.
hopes reasonably — pardon they-would-have
τὸ τοίνυν τελευταῖον, ὃ μόνοι καὶ καθ' αὑτοὺς ἔπραξαν, 102
the then last which alone and by themselves they-did
τίς οὐκ οἶδεν ὅτι κοινῆς ἡμῖν τῆς ἔχθρας ὑπαρχούσης,
who not knows that common to-us the enmity being
τῆς πρὸς τοὺς βαρβάρους καὶ τοὺς βασιλέας αὐτῶν,
the toward the barbarians and the kings of-them
ἡμεῖς μὲν ἐν πολέμοις πολλοῖς γιγνόμενοι καὶ μεγάλαις
we indeed in wars many being and great
συμφοραῖς ἐνίοτε περιπίπτοντες καὶ τῆς χώρας ἡμῶν
misfortunes sometimes falling-into and the land our
θαμὰ πορθουμένης καὶ τεμνομένης οὐδεπώποτ' ἐβλέψαμεν
often being-ravaged and cut never did-we-look
πρὸς τὴν ἐκείνων φιλίαν καὶ συμμαχίαν, ἀλλ' ὑπὲρ ὧν
to the their friendship and alliance but for what
τοῖς Ἕλλησιν ἐπεβούλευσαν μισοῦντες αὐτοὺς διετελέσαμεν
the Greeks they-plotted hating them we-continued
μᾶλλον ἢ τοὺς ἐν τῷ παρόντι κακῶς ἡμᾶς ποιοῦντας·
more than the-ones in the present badly us treating

103 Λακεδαιμόνιοι δ' οὔτε πάσχοντες κακὸν οὐδὲν οὔτε
Lacedaemonians but neither suffering harm any nor
μέλλοντες οὔτε δεδιότες εἰς τοῦτ' ἀπληστίας ἦλθον, ὥστ'
going nor fearing to this of-insatiability came that
οὐκ ἐξήρκεσεν αὐτοῖς ἔχειν τὴν κατὰ γῆν ἀρχήν, ἀλλὰ
not it-sufficed them to-have the by land empire but
καὶ τὴν κατὰ θάλατταν δύναμιν οὕτως ἐπεθύμησαν λαβεῖν,
also the by sea power so they-desired to-get
ὥστε κατὰ τοὺς αὐτοὺς χρόνους τούς τε συμμάχους τοὺς
that at the same times the both allies the
ἡμετέρους ἀφίστασαν, ἐλευθερώσειν αὐτοὺς ὑπισχνούμενοι,
our they-incited-to-revolt to-be-going-to-free them promising
καὶ βασιλεῖ περὶ φιλίας διελέγοντο καὶ συμμαχίας,
and with-the-king about friendship were-negotiating and alliance
παραδώσειν αὐτῷ φάσκοντες ἅπαντας τοὺς ἐπὶ τῆς
to-be-going-to-hand-over to-him claiming all the-ones in —
Ἀσίας κατοικοῦντας,
Asia dwelling
104 πίστεις δὲ δόντες τούτοις ἀμφοτέροις καὶ
pledges and having-given to-these both and
καταπολεμήσαντες ἡμᾶς, οὓς μὲν ἐλευθερώσειν
having-subdued us whom indeed to-be-going-to-free
ὤμοσαν, κατεδουλώσαντο μᾶλλον ἢ τοὺς Εἵλωτας,
they-swore they-enslaved more than the Helots
βασιλεῖ δὲ τοιαύτην χάριν ἀπέδοσαν ὥστ' ἔπεισαν
to-the-king but such favor they-repaid that they-persuaded
τὸν ἀδελφὸν αὐτοῦ Κῦρον ὄντα νεώτερον ἀμφισβητεῖν
the brother his Cyrus being younger to-dispute
τῆς βασιλείας, καὶ στρατόπεδον αὐτῷ συναγαγόντες καὶ
the kingship and army for-him having-collected and
στρατηγὸν Κλέαρχον ἐπιστήσαντες ἀνέπεμψαν ἐπ' ἐκεῖνον·
general Clearchus having-set-over-it they-sent-up against him

ἀτυχήσαντες δ' ἐν τούτοις καὶ γνωσθέντες ὧν ἐπεθύμουν, 105
having-failed and in these and having-been-recognized what they-desired
καὶ μισηθέντες ὑπὸ πάντων, εἰς πόλεμον καὶ ταραχὰς
and having-been-hated by all into war and turmoils
τοσαύτας κατέστησαν ὅσας εἰκὸς τοὺς καὶ περὶ τοὺς
so-great they-came as-many-as likely the-ones both against the
Ἕλληνας καὶ τοὺς βαρβάρους ἐξημαρτηκότας. περὶ ὧν
Greeks and the barbarians having-erred about which
οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγοντα διατρίβειν, πλὴν
not I-know what ever it-is-necessary more saying to-spend-time except
ὅτι καταναυμαχηθέντες ὑπό τε τῆς βασιλέως δυνάμεως καὶ
that defeated-at-sea by both the of-the-king force and
τῆς Κόνωνος στρατηγίας τοιαύτην ἐποιήσαντο τὴν εἰρήνην,
the of-Conon generalship such they-made the peace
ἧς οὐδεὶς ἂν ἐπιδείξειεν οὔτ' αἰσχίω πώποτε 106
than-which no-one — could-show either more-shameful ever
γενομένην οὔτ' ἐπονειδιστοτέραν οὔτ' ὀλιγωροτέραν τῶν
having-been or more-disgraceful or more-neglectful of-the
Ἑλλήνων οὔτ' ἐναντιωτέραν τοῖς λεγομένοις ὑπό τινων
Greeks or more-contrary to-the-things said by some
περὶ τῆς ἀρετῆς τῆς Λακεδαιμονίων· οἵ τινες, ὅτε μὲν
about the virtue the of-Lacedaemonians who ever when indeed
αὐτοὺς ὁ βασιλεὺς δεσπότας τῶν Ἑλλήνων κατέστησεν,
them the king masters of-the Greeks made
ἀφελέσθαι τὴν βασιλείαν αὐτοῦ καὶ τὴν εὐδαιμονίαν
to-take-away the kingship his and the prosperity
ἅπασαν ἐπεχείρησαν, ἐπειδὴ δὲ καταναυμαχήσας ταπεινοὺς
all attempted when but having-defeated-at-sea humble
ἐποίησεν, οὐ μικρὸν μέρος αὐτῷ τῶν Ἑλλήνων παρέδωκαν
he-made not small part to-him of-the Greeks they-handed-over

ἀλλὰ πάντας τοὺς τὴν Ἀσίαν οἰκοῦντας, διαρρήδην
but all the-ones — Asia inhabiting expressly
λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες, περὶ
to-speak dare the-ones about the philosophy being about
δὲ τῶν τοιούτων οὐδεὶς πώποτ' αὐτῶν συγγράφειν
but the such no-one ever of-them to-compose
ἐπεχείρησεν. καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην. τοῖς μὲν
attempted and much for-them I-have pardon to-the indeed
γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι·
for poets many are-given adornments
9 καὶ γὰρ πλησιάζοντας τοὺς θεοὺς τοῖς ἀνθρώποις οἷόν
and for consorting the gods with-the men possible
τ' αὐτοῖς ποιῆσαι καὶ διαλεγομένους καὶ συναγωνιζομένους
— *for-them to-make both conversing and fighting-alongside*

οἷς ἂν βουληθῶσι, καὶ περὶ τούτων δηλῶσαι μὴ μόνον
whomever — they-wish and about these to-make-clear not only
τοῖς τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξένοις,
with-the established words but the-things indeed with-foreign
τὰ δὲ καινοῖς, τὰ δὲ μεταφοραῖς, καὶ μηδὲν
the-things but with-new the-things but with-metaphors and nothing
παραλιπεῖν ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικῖλαι τὴν ποίησιν·
to-omit but with-all the forms to-embroider the poetry
τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων, ἀλλ' 10
for-the-ones but about the speeches nothing is-allowed of-the such but
ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς μόνον καὶ τῶν
strictly both of-the words the political only and of-the
ἐνθυμημάτων τοῖς περὶ αὐτὰς τὰς πράξεις ἀναγκαῖόν ἐστι
reflections the-ones about themselves the facts necessary it-is
χρῆσθαι. πρὸς δὲ τούτοις οἱ μὲν μετὰ μέτρων καὶ ῥυθμῶν
to-use besides and these the-ones indeed with meters and rhythms
ἅπαντα ποιοῦσιν, οἱ δ' οὐδενὸς τούτων κοινωνοῦσιν·
all-things make the-ones but in-none of-these share
ἃ τοσαύτην ἔχει χάριν, ὥστ' ἂν καὶ τῇ λέξει καὶ τοῖς
which so-much has charm that if both in-the style and in-the
ἐνθυμήμασιν ἔχῃ κακῶς, ὅμως αὐταῖς ταῖς εὐρυθμίαις
reflections it-be badly nevertheless by-the-very the good-rhythms
καὶ ταῖς συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας.
and the symmetries they-lead-the-souls-of the hearers
γνοίη δ' ἄν τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν· ἢν γάρ 11
could-know and — anyone from-there the power of-them if for
τις τῶν ποιημάτων τῶν εὐδοκιμούντων τὰ μὲν ὀνόματα
anyone of-the poems the well-reputed the indeed words
καὶ τὰς διανοίας καταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ,
and the thoughts leaves the but meter dissolves
φανήσεται πολὺ καταδεέστερα τῆς δόξης ἧς νῦν ἔχομεν
it-will-appear much inferior than-the reputation which now we-have

περὶ αὐτῶν. ὅμως δὲ καίπερ τοσοῦτον πλεονεκτούσης
about them nevertheless but although so-much having-the-advantage
τῆς ποιήσεως, οὐκ ὀκνητέον ἀλλ᾽ ἀποπειρατέον τῶν
the poetry not one-must-shrink but must-be-attempted of-the
λόγων ἐστίν, εἰ καὶ τοῦτο δυνήσονται, τοὺς ἀγαθοὺς
speeches it-is whether also this they-will-be-able the good
ἄνδρας εὐλογεῖν μηδὲν χεῖρον τῶν ἐν ταῖς ᾠδαῖς
men to-eulogize in-nothing worse than-the-ones in the songs
καὶ τοῖς μέτροις ἐγκωμιαζόντων.
and the meters eulogizing

12 πρῶτον μὲν οὖν περὶ τῆς φύσεως τῆς Εὐαγόρου, καὶ
first indeed then about the nature the of-Evagoras and
τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίστανται,
of-whom he-was descendant if even many know-beforehand
δοκεῖ μοι πρέπειν κἀμὲ τῶν ἄλλων ἕνεκα διελθεῖν
it-seems to-me to-befit me-too of-the others for-the-sake to-go-through
περὶ αὐτῶν, ἵνα πάντες εἰδῶσιν, ὅτι καλλίστων αὐτῷ
about them so-that all may-know that finest for-him
καὶ μεγίστων παραδειγμάτων καταλειφθέντων οὐδὲν
and greatest examples having-been-left in-nothing
καταδεέστερον αὐτὸν ἐκείνων παρέσχεν.
inferior himself than-those he-showed

13 ὁμολογεῖται μὲν γὰρ τοὺς ἀπὸ Διὸς εὐγενεστάτους
it-is-agreed indeed for the-ones from Zeus noblest
τῶν ἡμιθέων εἶναι, τούτων δ᾽ αὐτῶν οὐκ ἔστιν ὅστις
of-the demigods to-be of-these and themselves not there-is who
οὐκ ἂν Αἰακίδας προκρίνειεν· ἐν μὲν γὰρ τοῖς ἄλλοις
not — the-Aeacidae would-prefer in indeed for the other
γένεσιν εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δὲ
races we-shall-find the-ones indeed surpassing the-ones but

καταδεεστέρους ὄντας, οὗτοι δ' ἅπαντες ὀνομαστότατοι
inferior being these but all most-renowned
τῶν καθ' αὐτοὺς γεγόνασιν.
of-the-ones in their-time have-been
τοῦτο μὲν γὰρ Αἰακὸς ὁ Διὸς μὲν ἔκγονος, τοῦ δὲ 14
this indeed for Aeacus the of-Zeus indeed offspring of-the and
γένους τοῦ Τευκριδῶν πρόγονος, τοσοῦτον διήνεγκεν,
race the of-the-Teucridae ancestor so-much excelled
ὥστε γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι καὶ πολλῶν
that having-occurred droughts among the Greeks and many
ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς
men having-perished when the greatness of-the disaster
ὑπερέβαλλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες
exceeded came the leaders of-the cities supplicating
αὐτόν, νομίζοντες διὰ τῆς συγγενείας καὶ τῆς εὐσεβείας
him thinking through the kinship and the piety
τῆς ἐκείνου τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν θεῶν τῶν
the his most-quickly — to-obtain from the gods from-the
παρόντων κακῶν ἀπαλλαγήν.
present evils release
σωθέντες δὲ καὶ τυχόντες ὧν ἐδεήθησαν, ἱερὸν ἐν 15
having-been-saved and also having-obtained what they-begged a-temple in
Αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν Ἑλλήνων, οὗπερ ἐκεῖνος
Aegina they-established common of-the Greeks where-very he
ἐποιήσατο τὴν εὐχήν. καὶ κατ' ἐκεῖνόν τε τὸν χρόνον, ἕως
made the prayer and in that both the time while
ἦν μετ' ἀνθρώπων, μετὰ καλλίστης ὢν δόξης διετέλεσεν·
he-was among men with finest being reputation he-continued
ἐπειδή τε μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλούτωνι
when and he-changed the life it-is-said beside Pluto
καὶ Κόρῃ μεγίστας τιμὰς ἔχων παρεδρεύειν ἐκείνοις.
and Kore greatest honors having to-sit-beside them

16 τούτου δὲ παῖδες ἦσαν Τελαμὼν καὶ Πηλεύς, ὧν ὁ μὲν
of-him and sons were Telamon and Peleus of-whom the indeed
ἕτερος μεθ' Ἡρακλέους ἐπὶ Λαομέδοντα στρατευσάμενος
one with Heracles against Laomedon having-campaigned
ἀριστείων ἠξιώθη, Πηλεὺς δ' ἔν τε τῇ μάχῃ τῇ πρὸς
of-the-prize-of-valor was-deemed-worthy Peleus but in both the battle the against
Κενταύρους ἀριστεύσας καὶ κατὰ πολλοὺς ἄλλους κινδύνους
Centaurs having-excelled and in many other dangers
εὐδοκιμήσας Θέτιδι τῇ Νηρέως, θνητὸς ὢν ἀθανάτῃ,
having-been-well-thought-of Thetis the daughter-of-Nereus mortal being immortal
συνῴκησε, καὶ μόνου τούτου φασὶ τῶν προγεγενημένων
married and alone of-him they-say of-the-ones before
ὑπὸ θεῶν ἐν τοῖς γάμοις ὑμέναιον ᾄσθῆναι.
by gods at the wedding wedding-song to-have-been-sung

17 τούτοιν δ' ἑκατέρου, Τελαμῶνος μὲν Αἴας καὶ Τεῦκρος
of-these-two and of-each of-Telamon indeed Ajax and Teucer
ἐγενέσθην, Πηλέως δ' Ἀχιλλεύς, οἳ μέγιστον καὶ
were-born of-Peleus but Achilles who greatest and
σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὐτῶν ἀρετῆς· οὐ γὰρ ἐν
clearest proof gave of-the their virtue not for in
ταῖς αὐτῶν πόλεσι μόνον ἐπρώτευσαν, οὐδ' ἐν τοῖς τόποις,
the their cities only they-were-foremost nor in the places
ἐν οἷς κατῴκουν, ἀλλὰ στρατείας τοῖς Ἕλλησιν ἐπὶ
in which they-dwelt but expedition for-the Greeks against
τοὺς βαρβάρους γενομένης, καὶ πολλῶν μὲν ἑκατέρων
the barbarians having-arisen and many indeed on-each-side
ἀθροισθέντων,
having-been-gathered

18 οὐδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέντος, ἐν τούτοις τοῖς
none and of-the renowned having-been-left-out in these the
κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν, Αἴας δὲ μετ'
dangers Achilles indeed all excelled Ajax but after

ἐκεῖνον ἠρίστευσε, Τεῦκρος δὲ τῆς τε τούτων συγγενείας
him was-best Teucer but of-the both their kinship
ἄξιος καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ
worthy and of-the others than-none worse having-become when
Τροίαν συνεξεῖλεν, ἀφικόμενος εἰς Κύπρον Σαλαμῖνά
Troy he-helped-take having-come to Cyprus Salamis
τε κατῴκισεν, ὁμώνυμον ποιήσας τῆς πρότερον αὐτῷ
both he-founded same-named having-made-it of-the formerly his
πατρίδος οὔσης, καὶ τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπεν.
fatherland being and the race the now reigning left
τὰ μὲν οὖν ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ τῶν προγόνων 19
the-things indeed then from beginning to-Evagoras from the ancestors
ὑπάρξαντα τηλικαῦτα τὸ μέγεθός ἐστιν. τοῦτον δὲ τὸν
belonging so-great in-the size are this and the
τρόπον τῆς πόλεως κατοικισθείσης κατὰ μὲν ἀρχὰς
way the city having-been-founded at indeed first
οἱ γεγονότες ἀπὸ Τεύκρου τὴν βασιλείαν εἶχον, χρόνῳ
the-ones descended from Teucer the kingship held in-time
δ' ὕστερον ἀφικόμενος ἐκ Φοινίκης ἀνὴρ φυγὰς καὶ
but later having-come from Phoenicia a-man exile and
πιστευθεὶς ὑπὸ τοῦ τότε βασιλεύοντος καὶ μεγάλας
trusted by the then reigning and great
δυναστείας λαβὼν οὐ χάριν ἔσχε τούτων,
dominions having-got not gratitude had for-these
ἀλλὰ κακὸς μὲν γενόμενος περὶ τὸν ὑποδεξάμενον, δεινὸς 20
but base indeed having-become toward the-one having-received-him clever
δὲ πρὸς τὸ πλεονεκτῆσαι, τὸν μὲν εὐεργέτην ἐξέβαλεν,
but for the to-get-the-better the indeed benefactor he-expelled
αὐτὸς δὲ τὴν βασιλείαν κατέσχεν. ἀπιστῶν δὲ τοῖς
himself but the kingship seized distrusting and the
πεπραγμένοις καὶ βουλόμενος ἀσφαλῶς κατασκευάσασθαι
things-done and wishing safely to-establish

τὰ περὶ αὐτὸν τήν τε πόλιν ἐξεβαρβάρωσε καὶ τὴν
the-things about himself the both city he-barbarized and the
νῆσον ὅλην βασιλεῖ τῷ μεγάλῳ κατεδούλωσεν.
island whole to-the-king the great enslaved
21 οὕτω δὲ τῶν πραγμάτων καθεστώτων καὶ τῶν ἐκγόνων
so and the affairs being-established and the descendants
τῶν ἐκείνου τὴν ἀρχὴν ἐχόντων Εὐαγόρας γίγνεται· περὶ
the his the rule holding Evagoras is-born about
οὗ τὰς μὲν φήμας καὶ τὰς μαντείας καὶ τὰς ὄψεις
whom the indeed reports and the prophecies and the visions
τὰς ἐν τοῖς ὕπνοις γενομένας, ἐξ ὧν μειζόνως ἂν
the in the sleep having-occurred from which more-greatly —
φανείη γεγονὼς ἢ κατ' ἄνθρωπον, αἱροῦμαι
he-would-appear having-been-born than according-to man I-choose
παραλιπεῖν, οὐκ ἀπιστῶν τοῖς λεγομένοις, ἀλλ' ἵνα
to-omit not disbelieving the-things said but so-that
πᾶσι ποιήσω φανερόν, ὅτι τοσούτου δέω πλασάμενος
to-all I-may-make evident that so-far I-am-from having-fabricated
εἰπεῖν τι περὶ τῶν ἐκείνῳ πεπραγμένων, ὥστε καὶ
to-say anything about the-things by-him done that even
τῶν ὑπαρχόντων ἀφίημι τὰ τοιαῦτα, περὶ ὧν ὀλίγοι
the existing-things I-let-go the such about which few
τινὲς ἐπίστανται καὶ μὴ πάντες οἱ πολῖται συνίσασιν.
some know and not all the citizens are-aware
ἄρξομαι δ' ἐκ τῶν ὁμολογουμένων λέγειν περὶ αὐτοῦ.
I-shall-begin and from the agreed-things to-speak about him

II · EVAGORAS TAKES THE THRONE

As a boy he excelled in beauty, strength, and temperance, and as a man in courage, wisdom, and justice. The kings feared him and the divine power arranged that another should do the impious deed while he won the throne justly. When one of the powerful murdered the tyrant and sought to seize Evagoras, he fled to Soli in Cilicia, returned with about fifty men, entered the city by night, fought in the palace, and took the kingship. Isocrates sets this deed above all others: Cyrus won his empire with a Persian army, while Evagoras won his with fifty men against the whole city, risking his own life. No mortal, demigod, or immortal won a kingdom more nobly. As king he neither neglected nor improvised his affairs, but spent most of his time inquiring and deliberating, thinking that a well-prepared mind would make a well-ordered kingship.

παῖς μὲν γὰρ ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην, 22
a-boy indeed for being he-had beauty and strength and temperance
ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς τηλικούτοις
which-very of-the goods most-fitting to-the so-young
ἐστίν. καὶ τούτων μάρτυρας ἄν τις ποιήσαιτο, τῆς μὲν
are and of-these witnesses — anyone could-make of-the indeed
σωφροσύνης τοὺς συμπαιδευθέντας τῶν πολιτῶν, τοῦ
temperance the-ones schooled-with-him of-the citizens of-the
δὲ κάλλους ἅπαντας τοὺς ἰδόντας, τῆς δὲ ῥώμης τοὺς
but beauty all the-ones having-seen of-the but strength the-ones
θεασαμένους τοὺς ἀγῶνας, ἐν οἷς ἐκεῖνος τῶν ἡλικιωτῶν
having-watched the contests in which he of-the age-mates
ἐκρατίστευσεν.
was-best
ἀνδρὶ δὲ γενομένῳ ταῦτά τε πάντα συνηυξήθη καὶ πρὸς 23
to-the-man and having-become these-things both all were-increased and besides
τούτοις ἀνδρία προσεγένετο καὶ σοφία καὶ δικαιοσύνη,
these courage was-added and wisdom and justice

καὶ ταῦτ᾽ οὐ μέσως οὐδ᾽ ὥσπερ ἑτέροις τισίν, ἀλλ᾽
and these-things not moderately nor as in-others some but
ἕκαστον αὐτῶν εἰς ὑπερβολήν· τοσοῦτον γὰρ καὶ ταῖς
each of-them to excess so-much for both in-the
τοῦ σώματος καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν,
of-the body and in-the of-the soul virtues he-excelled
24 ὥσθ᾽ ὁπότε μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες,
that whenever indeed him saw the then reigning
ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς, ἡγουμένους
to-be-astounded and to-fear about the rule thinking
οὐχ οἷόν τ᾽ εἶναι τὸν τοιοῦτον τὴν φύσιν ἐν ἰδιώτου
not possible — to-be the such in-the nature in of-a-private-man
μέρει διαγαγεῖν, ὁπότε δ᾽ εἰς τοὺς τρόπους ἀποβλέψειαν,
part to-pass-life whenever but to the character they-looked
οὕτω σφόδρα πιστεύειν, ὥστ᾽ εἰ καί τις ἄλλος τολμήῃ
so strongly to-trust that if even anyone other should-dare
περὶ αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς
against them to-err to-think Evagoras for-them
ἔσεσθαι βοηθόν.
to-be-going-to-be helper
25 καὶ τοσοῦτον τῆς δόξης παραλλαττούσης οὐδετέρου τούτων
and so-much the opinion varying in-neither of-these
ἐψεύσθησαν· οὔτε γὰρ ἰδιώτης ὢν διετέλεσεν οὔτε περὶ
they-were-deceived neither for private-man being he-continued nor against
ἐκείνους ἐξήμαρτεν, ἀλλὰ τοσαύτην ὁ δαίμων ἔσχεν
those he-erred but such the divinity had
αὐτοῦ πρόνοιαν, ὅπως καλῶς λήψεται τὴν βασιλείαν, ὥσθ᾽
of-him forethought that well he-will-take the kingship that
ὅσα μὲν ἀναγκαῖον ἦν παρασκευασθῆναι δι᾽
as-many-things indeed necessary it-was to-be-prepared through
ἀσεβείας,
impiety

ταῦτα μὲν ἕτερος ἔπραξεν, ἐξ ὧν δ' οἷόν τ' ἦν ὁσίως 26
these-things indeed another did from what but possible — it-was piously
καὶ δικαίως λαβεῖν τὴν ἀρχήν, Εὐαγόρᾳ διεφύλαξεν. εἷς
and justly to-take the rule for-Evagoras it-preserved one
γὰρ τῶν δυναστευόντων ἐπιβουλεύσας τόν τε τύραννον
for of-the-ones in-power having-plotted the both tyrant
ἀπέκτεινε καὶ συλλαβεῖν Εὐαγόραν ἐπεχείρησεν, ἡγούμενος
killed and to-seize Evagoras attempted thinking
οὐ δυνήσεσθαι κατασχεῖν τὴν ἀρχήν, εἰ μὴ κἀκεῖνον
not to-be-going-to-be-able to-hold the rule if not him-too
ἐκποδὼν ποιήσαιτο.
out-of-the-way he-should-put
διαφυγὼν δὲ τὸν κίνδυνον καὶ σωθεὶς εἰς Σόλους 27
having-escaped and the danger and having-been-saved to Soli
τῆς Κιλικίας οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς ταῖς
— of-Cilicia not the same mind had as-the-ones in-the
τοιαύταις συμφοραῖς περιπίπτουσιν. οἱ μὲν γὰρ ἄλλοι,
such misfortunes falling the indeed for others
κἂν ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας
even-if from tyranny they-fall because-of the present fortunes
ταπεινοτέρας τὰς ψυχὰς ἔχουσιν· ἐκεῖνος δ' εἰς τοσοῦτον
humbler the souls have he but to so-much
μεγαλοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον χρόνον ἰδιώτης
of-greatness-of-mind came that the other time private-man
ὤν, ἐπειδὴ φεύγειν ἠναγκάσθη,
being when to-be-exiled he-was-compelled
τυραννεῖν ᾠήθη δεῖν. καὶ τοὺς μὲν πλάνους τοὺς 28
to-be-tyrant he-thought to-be-necessary and the indeed wanderings the
φυγαδικοὺς καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κάθοδον καὶ
of-exiles and the through others to-seek the return and
θεραπεύειν αὐτοῦ χείρους ὑπερεῖδεν, λαβὼν δὲ ταύτην
to-court than-himself worse-men he-disdained having-taken and this

ἀφορμήν, ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους,
starting-point which-very it-is-necessary the-ones to-be-pious wishing
ἀμύνεσθαι καὶ μὴ προτέρους ὑπάρχειν, καὶ προελόμενος
to-defend-themselves and not first to-begin and having-chosen
ἢ κατορθώσας τυραννεῖν ἢ διαμαρτὼν ἀποθανεῖν,
either having-succeeded to-be-tyrant or having-failed to-die
παρακαλέσας ἀνθρώπους, ὡς οἱ τοὺς πλείστους
having-summoned men as the-ones the most
λέγοντες, περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο
saying about fifty with these he-prepared
ποιεῖσθαι τὴν κάθοδον.
to-make the return

29 ὅθεν καὶ μάλιστ᾽ ἄν τις καὶ τὴν φύσιν τὴν ἐκείνου καὶ τὴν
whence and most — anyone both the nature the his and the
δόξαν, ἣν εἶχε παρὰ τοῖς ἄλλοις, θεωρήσειεν· μέλλοντος
reputation which he-had among the others could-observe being-about
γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην πρᾶξιν
for to-sail with so-few against such action
τὸ μέγεθος καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων
in-the size and all the terrible-things near being
οὔτ᾽ ἐκεῖνος ἠθύμησεν οὔτε τῶν παρακληθέντων οὐδεὶς
neither he lost-heart nor of-the-ones summoned anyone
ἀποστῆναι τῶν κινδύνων ἠξίωσεν, ἀλλ᾽ οἱ μὲν ὥσπερ θεῷ
to-stand-off from-the dangers thought-fit but they indeed as a-god
συνακολουθοῦντες ἅπαντες ἐνέμειναν τοῖς ὡμολογημένοις, ὁ
following all abided-by the-things agreed he
δ᾽ ὥσπερ ἢ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπάλων
but as either an-army having stronger than-the opponents
ἢ προειδὼς τὸ συμβησόμενον οὕτω διέκειτο τὴν γνώμην.
or foreknowing the-thing going-to-happen so was-disposed in-the mind

δῆλον δ' ἐκ τῶν ἔργων· ἀποβὰς γὰρ εἰς τὴν νῆσον 30
clear and from the deeds having-landed for on the island
οὐχ ἡγήσατο δεῖν χωρίον ἐχυρὸν καταλαβὼν καὶ τὸ
not he-thought to-be-necessary place strong having-seized and the
σῶμ' ἐν ἀσφαλείᾳ καταστήσας περιδεῖν, εἴ τινες αὐτῷ
body in safety having-put to-wait-to-see whether some him
τῶν πολιτῶν βοηθήσουσιν· ἀλλ' εὐθύς, ὥσπερ εἶχε, ταύτης
of-the citizens will-help but at-once as he-was in-this
τῆς νυκτὸς διελὼν τοῦ τείχους πυλίδα καὶ ταύτῃ
the night having-broken-through of-the wall a-postern and through-this
τοὺς μεθ' αὐτοῦ διαγαγὼν προσέβαλλε πρὸς τὸ βασίλειον.
the-ones with him having-led he-attacked against the palace
καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς 31
and the indeed tumults the in the such occasions
γιγνομένους καὶ τοὺς φόβους τοὺς τῶν ἄλλων καὶ τὰς
arising and the fears the of-the others and the
παρακελεύσεις τὰς ἐκείνου τί δεῖ λέγοντα διατρίβειν;
exhortations the his why is-it-necessary saying to-spend-time
γενομένων δ' αὐτῷ τῶν μὲν περὶ τὸν τύραννον
having-become and to-him the-ones indeed about the tyrant
ἀνταγωνιστῶν, τῶν δ' ἄλλων πολιτῶν θεατῶν, δεδιότες
opponents the but other citizens spectators fearing
γὰρ τοῦ μὲν τὴν ἀρχήν, τοῦ δὲ τὴν ἀρετὴν
for of-the-one indeed the rule of-the-other but the virtue
ἡσυχίαν εἶχον, οὐ πρότερον ἐπαύσατο μαχόμενος καὶ μόνος 32
quiet kept not before he-ceased fighting and alone
πρὸς πολλοὺς καὶ μετ' ὀλίγων πρὸς ἅπαντας, πρὶν ἑλεῖν τὸ
against many and with few against all before to-take the
βασίλειον, καὶ τούς τ' ἐχθροὺς ἐτιμωρήσατο καὶ τοῖς φίλοις
palace and the both enemies he-punished and the friends

ἐβοήθησεν, ἔτι δὲ τῷ γένει τὰς τιμὰς τὰς πατρίους
he-helped further and for-the family the honors the ancestral
ἐκομίσατο, καὶ τύραννον αὐτὸν τῆς πόλεως κατέστησεν.
he-recovered and tyrant himself of-the city he-made
33 ἡγοῦμαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλου μνησθείην, ἀλλ'
I-think indeed then if even of-nothing other I-should-make-mention but
ἐνταῦθα καταλίποιμι τὸν λόγον, ῥᾴδιον ἐκ τούτων εἶναι
here should-leave the speech easy from these to-be
γνῶναι τήν τ' ἀρετὴν τὴν Εὐαγόρου καὶ τὸ μέγεθος τῶν
to-know the both virtue the of-Evagoras and the greatness of-the-things
πεπραγμένων· οὐ μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ
done not however but still at-least more-clearly about
ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων οἶμαι δηλώσειν.
both these from the-things following I-think to-be-going-to-show
34 τοσούτων γὰρ τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων
so-many for tyrants in all the time having-been
οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην κάλλιον ἐκείνου
no-one will-appear the honor this more-finely than-he
κτησάμενος. εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις
having-acquired if indeed then with each of-them the actions
τὰς Εὐαγόρου παραβάλλοιμεν, οὔτ' ἂν ὁ λόγος ἴσως
the of-Evagoras we-should-compare neither — the speech perhaps
τοῖς καιροῖς ἁρμόσειεν οὔτ' ἂν ὁ χρόνος τοῖς λεγομένοις
to-the occasions would-suit nor — the time to-the things-said
ἀρκέσειεν· ἢν δὲ προελόμενοι τοὺς εὐδοκιμωτάτους ἐπὶ
would-suffice if but having-chosen the most-reputed over
τούτων σκοπῶμεν, οὐδὲν μὲν χεῖρον ἐξετῶμεν, πολὺ
these we-consider in-nothing indeed worse we-shall-examine much
δὲ συντομώτερον διαλεχθησόμεθα περὶ αὐτῶν.
but more-concisely we-shall-discourse about them

τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παραλαβόντων τίς 35
of-the indeed then the ancestral kingships having-received who
οὐκ ἂν τοὺς Εὐαγόρου κινδύνους προκρίνειεν; οὐδεὶς γάρ
not — the of-Evagoras dangers would-prefer no-one for
ἐστιν οὕτω ῥᾴθυμος, ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων
is so idle who — would-accept from the ancestors
τὴν ἀρχὴν ταύτην παραλαβεῖν μᾶλλον ἢ κτησάμενος
the rule this to-receive rather than having-acquired
ὥσπερ ἐκεῖνος τοῖς παισὶ τοῖς αὐτοῦ καταλιπεῖν.
as he to-the children the his to-leave
καὶ μὴν τῶν γε παλαιῶν καθόδων αὗται μάλιστ' 36
and truly of-the at-least ancient returns these most
εὐδοκιμοῦσιν, ἃς παρὰ τῶν ποιητῶν ἀκούομεν· οὗτοι γὰρ οὐ
are-well-thought-of which from the poets we-hear these for not
μόνον τῶν γεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν,
only of-the having-happened the finest to-us report
ἀλλὰ καὶ παρ' αὐτῶν καινὰς συντιθέασιν. ἀλλ' ὅμως οὐδεὶς
but also from themselves new compose but nevertheless no-one
αὐτῶν μεμυθολόγηκεν, ὅστις οὕτω δεινοὺς καὶ φοβεροὺς
of-them has-told-in-myth who so terrible and fearful
ποιησάμενος τοὺς κινδύνους εἰς τὴν αὐτοῦ κατῆλθεν· ἀλλ' οἱ
having-made the dangers to the his-own returned but the
μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς βασιλείας,
indeed most have-represented through fortune having-got the kingships
οἱ δὲ μετὰ δόλου καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν.
the-others but with guile and craft having-prevailed-over the enemies
ἀλλὰ μὴν τῶν γ' ἐπὶ τάδε γεγενημένων, ἴσως δὲ καὶ 37
but truly of-the at-least on this-side having-been perhaps but also
τῶν ἁπάντων, Κῦρον τὸν Μήδων μὲν ἀφελόμενον τὴν
of-the all Cyrus the-one of-Medes indeed having-taken-away the
ἀρχήν, Πέρσαις δὲ κτησάμενον, καὶ πλεῖστοι καὶ μάλιστα
rule for-Persians but having-acquired both most and most

θαυμάζουσιν. ἀλλ' ὁ μὲν τῷ Περσῶν στρατοπέδῳ τὸ
admire but he indeed with-the of-Persians army the
Μήδων ἐνίκησεν, ὃ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν
of-Medes conquered which many both of-the Greeks and of-the
βαρβάρων ῥᾳδίως ἂν ποιήσειαν· ὁ δὲ διὰ τῆς ψυχῆς
barbarians easily — could-do he but through the soul
τῆς αὐτοῦ καὶ τοῦ σώματος τὰ πλεῖστα φαίνεται τῶν
the his and the body the most appears of-the-things
προειρημένων διαπραξάμενος.
said-before having-accomplished

38 ἔπειτ' ἐκ μὲν τῆς Κύρου στρατηγίας οὔπω δῆλον, ὅτι
then from indeed the of-Cyrus generalship not-yet clear that
καὶ τοὺς Εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν, ἐκ δὲ
also the of-Evagoras dangers — he-would-have-endured from but
τῶν τούτῳ πεπραγμένων ἅπασι φανερόν, ὅτι ῥᾳδίως
the-things by-this-man done to-all evident that easily
ἂν κἀκείνοις τοῖς ἔργοις ἐπεχείρησεν. πρὸς δὲ τούτοις
— also-those the deeds he-would-have-attempted besides and these
τῷ μὲν ὁσίως καὶ δικαίως ἅπαντα πέπρακται, τῷ
by-the-one indeed piously and justly all-things have-been-done by-the-other
δ' οὐκ εὐσεβῶς ἔνια συμβέβηκεν· ὁ μὲν γὰρ τοὺς
but not reverently some-things have-happened the-one indeed for the
ἐχθροὺς ἀπώλεσε, Κῦρος δὲ τὸν πατέρα τὸν τῆς μητρὸς
enemies destroyed Cyrus but the father the of-the mother
ἀπέκτεινεν. ὥστ' εἴ τινες βούλοιντο μὴ τὸ μέγεθος τῶν
killed so-that if some should-wish not the greatness of-the
συμβάντων ἀλλὰ τὴν ἀρετὴν τὴν ἑκατέρου κρίνειν, δικαίως
events but the virtue the of-each to-judge justly
ἂν Εὐαγόραν καὶ τούτου μᾶλλον ἐπαινέσειαν.
— Evagoras even than-him more would-praise

εἰ δὲ δεῖ συντόμως καὶ μηδὲν ὑποστειλάμενον μηδὲ 39
if and it-is-necessary concisely and nothing having-held-back nor
δείσαντα τὸν φθόνον ἀλλὰ παρρησίᾳ χρησάμενον εἰπεῖν,
having-feared the envy but frankness having-used to-say
οὐδεὶς οὔτε θνητὸς οὔθ' ἡμίθεος οὔτ' ἀθάνατος εὑρεθήσεται
no-one either mortal or demigod or immortal will-be-found
κάλλιον οὐδὲ λαμπρότερον οὐδ' εὐσεβέστερον λαβὼν
more-finely nor more-brilliantly nor more-piously having-taken
ἐκείνου τὴν βασιλείαν. καὶ τούτοις ἐκείνως ἄν τις
than-he the kingship and these in-that-way — anyone
μάλιστα πιστεύσειεν, εἰ σφόδρα τοῖς λεγομένοις ἀπιστήσας
most would-believe if very the things-said having-disbelieved
ἐξετάζειν ἐπιχειρήσειεν, ὅπως ἕκαστος ἐτυράννευσεν.
to-examine he-should-attempt how each was-tyrant
φανήσομαι γὰρ οὐκ ἐκ παντὸς τρόπου μεγάλα λέγειν
I-shall-appear for not from every way great-things to-say
προθυμούμενος ἀλλὰ διὰ τὴν τοῦ πράγματος ἀλήθειαν
being-eager but because-of the of-the matter truth
οὕτω περὶ αὐτοῦ θρασέως εἰρηκώς.
so about him boldly having-spoken
εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων ἂν καὶ τῶν 40
if indeed then in small-things he-excelled of-such — also the
λόγων αὐτῷ προσῆκεν ἀξιοῦσθαι· νῦν δ' ἅπαντες ἂν
speeches him it-would-befit to-be-deemed-worthy now but all —
ὁμολογήσειαν τυραννίδα καὶ τῶν θείων ἀγαθῶν καὶ τῶν
would-agree tyranny both of-the divine goods and of-the
ἀνθρωπίνων μέγιστον καὶ σεμνότατον καὶ περιμαχητότατον
human greatest and most-august and most-fought-over
εἶναι. τὸν δὴ τὸ κάλλιστον τῶν ὄντων κάλλιστα
to-be the-one indeed the finest of-the things-that-are most-finely

κτησάμενον τίς ἂν ἢ ποιητὴς ἢ λόγων εὑρετὴς ἀξίως
having-acquired who — either poet or of-speeches inventor worthily
τῶν πεπραγμένων ἐπαινέσειεν;
of-the-things done could-praise
41 οὐ τοίνυν ἐν τούτοις ὑπερβαλόμενος ἐν τοῖς ἄλλοις
not then in these having-excelled in the others
εὑρεθήσεται καταδεέστερος γενόμενος, ἀλλὰ πρῶτον μὲν
will-be-found inferior having-become but first indeed
εὐφυέστατος ὢν τὴν γνώμην καὶ πλεῖστα κατορθοῦν
most-gifted being the mind and most-things to-succeed
δυνάμενος ὅμως οὐκ ᾠήθη δεῖν ὀλιγωρεῖν οὐδ'
able nevertheless not he-thought to-be-necessary to-neglect nor
αὐτοσχεδιάζειν περὶ τῶν πραγμάτων, ἀλλ' ἐν τῷ ζητεῖν
to-improvise about the affairs but in the to-seek
καὶ φροντίζειν καὶ βουλεύεσθαι τὸν πλεῖστον τοῦ χρόνου
and to-reflect and to-deliberate the most of-the time
διέτριβεν, ἡγούμενος μέν, εἰ καλῶς τὴν αὐτοῦ φρόνησιν
he-spent thinking indeed if well the his wisdom
παρασκευάσειεν, ὁμοίως αὐτῷ καὶ τὴν βασιλείαν ἕξειν,
he-should-prepare alike for-him also the kingship to-be-going-to-be
θαυμάζων δ' ὅσοι τῶν μὲν ἄλλων ἕνεκα τῆς
wondering but how-many the indeed other for-the-sake of-the
ψυχῆς ποιοῦνται τὴν ἐπιμέλειαν, αὐτῆς δὲ ταύτης μηδὲν
soul make the care itself but of-this nothing
τυγχάνουσι φροντίζοντες.
happen caring-for

Evagoras governed by examining everything himself, honoring the good and punishing the wicked by law, never wronging any citizen, and judging each by what he knew himself, not by hearsay. He was gentle and great, the master of his pleasures, and acquainted with every man in the city. He found Salamis barbarous, without harbors or arts, and made it Greek, adding territory, fortifications, and ships, so that those who had despised it came to fear it, the barbarians of the region turned lovers of the Greeks, and many Greeks came to live there. After his misfortune Conon, the first of the Greeks in virtue, chose him above all others and came to Salamis. Together they advised the King's generals to fight Sparta at sea; the Spartans were defeated at sea and lost their empire, and Athens, which regained part of its glory, set up their statues beside that of Zeus the Savior. The King feared them the more for it, and judged Evagoras a harder opponent than Cyrus had been, so that he prepared war against him.

ἔπειτα καὶ περὶ τῶν πραγμάτων τὴν αὐτὴν διάνοιαν εἶχεν· 42
then also about the affairs the same mind he-had
ὁρῶν γὰρ τοὺς ἄριστα τῶν ὄντων ἐπιμελουμένους
seeing for the-ones best the things-that-are managing
ἐλάχιστα λυπουμένους, καὶ τὰς ἀληθινὰς τῶν ῥᾳθυμιῶν
least pained and the true of-the ease
οὐκ ἐν ταῖς ἀργίαις ἀλλ' ἐν ταῖς εὐπραγίαις καὶ καρτερίαις
not in the idlenesses but in the successes and endurances
ἐνούσας, οὐδὲν ἀνεξέταστον παρέλειπεν, ἀλλ' οὕτως
being-in nothing unexamined he-left but so
ἀκριβῶς καὶ τὰς πράξεις ᾔδει καὶ τῶν πολιτῶν ἕκαστον
exactly both the affairs he-knew and of-the citizens each
ἐγίγνωσκεν ὥστε μήτε τοὺς ἐπιβουλεύοντας αὐτῷ φθάνειν
he-recognized that neither the-ones plotting-against him to-anticipate
μήτε τοὺς ἐπιεικεῖς ὄντας λανθάνειν, ἀλλὰ πάντας
nor the-ones decent being to-escape-notice but all
τυγχάνειν τῶν προσηκόντων· οὐ γὰρ ἐξ ὧν ἑτέρων
to-obtain the fitting-things not for from what from-others

ἤκουεν οὔτ᾽ ἐκόλαζεν οὔτ᾽ ἐτίμα τοὺς πολίτας, ἀλλ᾽ ἐξ
he-heard either he-punished or he-honored the citizens but from
ὧν αὐτὸς συνῄδει τὰς κρίσεις ἐποιεῖτο περὶ αὐτῶν.
what himself he-knew the judgments he-made about them
43 ἐν τοιαύταις δ᾽ ἐπιμελείαις αὐτὸν καταστήσας οὐδὲ περὶ
in such and cares himself having-placed not-even about
τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων οὐδὲ
the-things by the day each befalling not-even
περὶ ἓν πεπλανημένως εἶχεν, ἀλλ᾽ οὕτω θεοφιλῶς καὶ
about one at-random he-was but so god-belovedly and
φιλανθρώπως διῴκει τὴν πόλιν ὥστε τοὺς εἰσαφικνουμένους
humanely he-governed the city that the-ones arriving
μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν ἢ τοὺς ἄλλους τῆς
not more Evagoras for-the rule to-envy than the others for-the
ὑπ᾽ ἐκείνου βασιλείας· ἅπαντα γὰρ τὸν χρόνον διετέλεσεν
by him kingship all for the time he-continued
οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν, καὶ σφόδρα μὲν
no-one indeed wronging the but good honoring and strongly indeed
ἁπάντων ἄρχων, νομίμως δὲ τοὺς ἐξαμαρτόντας κολάζων·
all ruling lawfully but the-ones having-erred punishing
44 οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις
of-nothing indeed advisers needing nevertheless but with-the friends
συμβουλευόμενος· πολλὰ μὲν τῶν χρωμένων ἡττώμενος,
consulting in-many indeed by-the intimates being-outdone
ἅπαντα δὲ τῶν ἐχθρῶν περιγιγνόμενος· σεμνὸς ὢν οὐ
in-all but the enemies overcoming dignified being not
ταῖς τοῦ προσώπου συναγωγαῖς ἀλλὰ ταῖς τοῦ βίου
by-the of-the face contractions but by-the of-the life
κατασκευαῖς· οὐδὲ πρὸς ἓν ἀτάκτως οὐδ᾽ ἀνωμάλως
arrangements nor toward one-thing disorderly nor unevenly

διακείμενος ἀλλ᾽ ὁμοίως τὰς ἐν τοῖς ἔργοις ὁμολογίας
disposed but alike the in the deeds agreements
ὥσπερ τὰς ἐν τοῖς λόγοις διαφυλάττων·
as the in the words keeping
μέγα φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην ἀλλ᾽ ἐπὶ τοῖς 45
great thinking not on the-things through fortune but on the-things
δι᾽ αὐτὸν γιγνομένοις· τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις
through himself arising the indeed friends by-the benefactions
ὑφ᾽ αὑτῷ ποιούμενος, τοὺς δ᾽ ἄλλους τῇ μεγαλοψυχίᾳ
under himself making the but others by-the magnanimity
καταδουλούμενος· φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν
enslaving fearsome being not by-the with-many to-be-angry
ἀλλὰ τῷ πολὺ τὴν τῶν ἄλλων φύσιν ὑπερβάλλειν·
but by-the much the of-the others nature to-surpass
ἡγούμενος τῶν ἡδονῶν ἀλλ᾽ οὐκ ἀγόμενος ὑπ᾽ αὐτῶν·
leading the pleasures but not being-led by them
ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας κτώμενος ἀλλ᾽ οὐ διὰ
by-few toils many easings acquiring but not through
μικρὰς ῥᾳθυμίας μεγάλους πόνους ὑπολειπόμενος·
small idlenesses great toils leaving-behind
ὅλως οὐδὲν παραλείπων ὧν προσεῖναι δεῖ τοῖς 46
altogether nothing omitting of-what to-belong it-is-necessary to-the
βασιλεῦσιν, ἀλλ᾽ ἐξ ἑκάστης τῆς πολιτείας ἐξειλεγμένος τὸ
kings but from each the constitution having-selected the
βέλτιστον, καὶ δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θεραπείᾳ,
best and popular indeed being by-the of-the multitude courting
πολιτικὸς δὲ τῇ τῆς πόλεως ὅλης διοικήσει, στρατηγικὸς
statesmanlike but by-the of-the city whole administration general-like
δὲ τῇ πρὸς τοὺς κινδύνους εὐβουλίᾳ, τυραννικὸς δὲ τῷ
but by-the toward the dangers good-counsel tyrant-like but by-the

πᾶσι τούτοις διαφέρειν. καὶ ταῦθ' ὅτι προσῆν Εὐαγόρᾳ,
in-all these to-excel and these-things that belonged to-Evagoras
καὶ πλείω τούτων, ἐξ αὐτῶν τῶν ἔργων ῥᾴδιον καταμαθεῖν.
and more than-these from themselves the deeds easy to-learn
47 παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην καὶ διὰ
having-taken-over for the city barbarized and because-of
τὴν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας προσδεχομένην
the of-Phoenicians rule neither the Greeks admitting
οὔτε τέχνας ἐπισταμένην οὔτ' ἐμπορίῳ χρωμένην οὔτε λιμένα
nor arts knowing nor market using nor harbor
κεκτημένην ταῦτά τε πάντα διώρθωσε καὶ πρὸς τούτοις καὶ
having-acquired these both all he-corrected and besides these also
χώραν πολλὴν προσεκτήσατο καὶ τείχη προσπεριεβάλετο
land much he-acquired-in-addition and walls he-threw-around
καὶ τριήρεις ἐναυπηγήσατο καὶ ταῖς ἄλλαις κατασκευαῖς
and triremes he-built and with-the other equipments
οὕτως ηὔξησε τὴν πόλιν ὥστε μηδεμιᾶς τῶν Ἑλληνίδων
so increased the city that of-none of-the Greek
ἀπολελεῖφθαι, καὶ δύναμιν τοσαύτην ἐνεποίησεν ὥστε
to-be-left-behind and power so-great he-created that
πολλοὺς φοβεῖσθαι τῶν πρότερον καταφρονούντων αὐτῆς.
many to-fear of-the-ones before despising it
48 καίτοι τηλικαύτας ἐπιδόσεις τὰς πόλεις λαμβάνειν οὐχ
and-yet such advances the cities to-get not
οἷόν τ' ἐστίν, ἢν μή τις αὐτὰς διοικῇ τοιούτοις ἤθεσιν
possible — it-is if not anyone them govern with-such characters
οἵοις Εὐαγόρας μὲν εἶχεν, ἐγὼ δ' ὀλίγῳ πρότερον
as Evagoras indeed had I but a-little before
ἐπειράθην διελθεῖν. ὥστ' οὐ δέδοικα, μὴ φανῶ μείζω
tried to-go-through so-that not I-fear lest I-appear greater-things

λέγων τῶν ἐκείνῳ προσόντων ἀλλὰ μὴ πολὺ λίαν
saying than-the to-him belonging but lest very too
ἀπολειφθῶ τῶν πεπραγμένων αὐτῷ.
I-be-left-behind from-the-things done by-him
τίς γὰρ ἂν ἐφίκοιτο τοιαύτης φύσεως, ὃς οὐ μόνον 49
who for — could-attain such nature who not only
τὴν αὐτοῦ πόλιν πλείονος ἀξίαν ἐποίησεν ἀλλὰ καὶ τὸν
the his city of-more worth made but also the
τόπον ὅλον τὸν περιέχοντα τὴν νῆσον ἐπὶ πραότητα καὶ
region whole the surrounding the island to gentleness and
μετριότητα προήγαγεν; πρὶν μέν γε λαβεῖν Εὐαγόραν
moderation advanced before indeed at-least to-take Evagoras
τὴν ἀρχὴν οὕτως ἀπροσοίστως καὶ χαλεπῶς εἶχον,
the rule so unapproachably and harshly they-were-disposed
ὥστε καὶ τῶν ἀρχόντων τούτους ἐνόμιζον εἶναι βελτίστους,
that also of-the rulers these they-thought to-be best
οἵτινες ὠμότατα πρὸς τοὺς Ἕλληνας διακείμενοι τυγχάνοιεν·
who most-cruelly toward the Greeks disposed happened
νῦν δὲ τοσοῦτον μεταπεπτώκασιν ὥσθ' ἁμιλλᾶσθαι 50
now but so-much they-have-changed that to-vie
μέν, οἵτινες αὐτῶν δόξουσι φιλέλληνες εἶναι μάλιστα,
indeed who of-them will-seem Greek-loving to-be most
παιδοποιεῖσθαι δὲ τοὺς πλείστους αὐτῶν γυναῖκας
to-beget-children but the most of-them wives
λαμβάνοντας παρ' ἡμῶν, χαίρειν δὲ καὶ τοῖς κτήμασι καὶ τοῖς
taking from us to-rejoice and both in-the possessions and in-the
ἐπιτηδεύμασι τοῖς Ἑλληνικοῖς μᾶλλον ἢ τοῖς παρὰ σφίσιν
pursuits the Greek more than in-the-ones among them-
αὐτοῖς, πλείους δὲ καὶ τῶν περὶ τὴν μουσικὴν καὶ τῶν
-selves more and both of-the-ones about the music and of-the-ones
περὶ τὴν ἄλλην παίδευσιν ἐν τούτοις τοῖς τόποις διατρίβειν
about the other education in these the places to-spend-time

ἢ παρ᾽ οἷς πρότερον εἰωθότες ἦσαν. καὶ τούτων ἁπάντων
than among whom before accustomed they-were and of-these all
οὐδεὶς ὅστις οὐκ ἂν Εὐαγόραν αἴτιον εἶναι προσομολογήσειεν.
no-one who not — Evagoras cause to-be would-agree
51 μέγιστον δὲ τεκμήριον καὶ τοῦ τρόπου καὶ τῆς ὁσιότητος
greatest and proof both of-the character and of-the holiness
τῆς ἐκείνου· τῶν γὰρ Ἑλλήνων πολλοὶ καὶ καλοὶ κἀγαθοὶ
the his of-the for Greeks many and fine and-good
τὰς αὐτῶν πατρίδας ἀπολιπόντες ἦλθον εἰς Κύπρον
the their fatherlands having-left came to Cyprus
οἰκήσοντες, ἡγούμενοι κουφοτέραν καὶ νομιμωτέραν εἶναι
going-to-dwell thinking lighter and more-lawful to-be
τὴν Εὐαγόρου βασιλείαν τῶν οἴκοι πολιτειῶν· ὧν τοὺς
the of-Evagoras kingship than-the at-home constitutions of-whom the
μὲν ἄλλους ὀνομαστὶ διελθεῖν πολὺ ἂν ἔργον εἴη·
indeed others by-name to-go-through great — task it-would-be
52 Κόνωνα δὲ τὸν διὰ πλείστας ἀρετὰς πρωτεύσαντα τῶν
Conon and the-one through most virtues having-been-first of-the
Ἑλλήνων τίς οὐκ οἶδεν, ὅτι δυστυχήσας ἐξ ἁπάντων
Greeks who not knows that having-been-unfortunate from all
ἐκλεξάμενος ὡς Εὐαγόραν ἦλθε, νομίσας καὶ τῷ σώματι
having-selected to Evagoras he-came having-thought both for-the body
βεβαιοτάτην εἶναι τὴν παρ᾽ ἐκείνῳ καταφυγὴν καὶ τῇ
most-secure to-be the with him refuge and for-the
πόλει τάχιστ᾽ ἂν αὐτὸν γενέσθαι βοηθόν. καὶ πολλὰ
city most-quickly — him to-become helper and many-things
πρότερον ἤδη κατωρθωκὼς οὐδὲ περὶ ἑνὸς πώποτε
before already having-succeeded not-even about one ever
πράγματος ἔδοξεν ἄμεινον ἢ περὶ τούτου βουλεύσασθαι·
matter he-seemed better than about this to-have-deliberated

συνέβη γὰρ αὐτῷ διὰ τὴν ἄφιξιν τὴν εἰς Κύπρον 53
it-happened for to-him because-of the arrival the to Cyprus
καὶ ποιῆσαι καὶ παθεῖν πλεῖστ᾽ ἀγαθά. πρῶτον μὲν γὰρ
both to-do and to-receive most goods first indeed for
οὐκ ἔφθασαν ἀλλήλοις πλησιάσαντες καὶ περὶ πλείονος
not they-were-sooner one-another having-come-together and of more
ἐποιήσαντο σφᾶς αὐτοὺς ἢ τοὺς πρότερον οἰκείους ὄντας.
made them- -selves than the before intimate being
ἔπειτα περί τε τῶν ἄλλων ὁμονοοῦντες ἅπαντα τὸν
then about both the other-things agreeing all the
χρόνον διετέλεσαν καὶ περὶ τῆς ἡμετέρας πόλεως τὴν
time they-continued and about the our city the
αὐτὴν γνώμην εἶχον.
same opinion they-had
ὁρῶντες γὰρ αὐτὴν ὑπὸ Λακεδαιμονίοις οὖσαν καὶ 54
seeing for it under Lacedaemonians being and
μεγάλῃ μεταβολῇ κεχρημένην λυπηρῶς καὶ βαρέως ἔφερον,
great change having-experienced painfully and heavily bore
ἀμφότεροι προσήκοντα ποιοῦντες· τῷ μὲν γὰρ ἦν φύσει
both befitting-things doing to-the-one indeed for it-was by-nature
πατρίς, τὸν δὲ διὰ πολλὰς καὶ μεγάλας εὐεργεσίας
fatherland the-other but because-of many and great benefactions
νόμῳ πολίτην ἐπεποίηντο. σκοπουμένοις δ᾽ αὐτοῖς, ὅπως
by-law citizen they-had-made considering and them how
τῶν συμφορῶν αὐτὴν ἀπαλλάξουσι, ταχὺν τὸν καιρὸν
from-the misfortunes it they-will-free quick the occasion
Λακεδαιμόνιοι παρεσκεύασαν· ἄρχοντες γὰρ τῶν Ἑλλήνων
Lacedaemonians provided ruling for the Greeks
καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν εἰς τοῦτ᾽ ἀπληστίας
both by land and by sea into this of-insatiability
ἦλθον, ὥστε καὶ τὴν Ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν.
they-came that also — Asia badly to-treat they-attempted

55 λαβόντες δ᾽ ἐκεῖνοι τοῦτον τὸν καιρὸν καὶ τῶν στρατηγῶν
having-taken and they this the occasion and the generals
τῶν βασιλέως ἀπορούντων, ὅ τι χρήσωνται τοῖς
the of-the-king being-at-a-loss what ever they-should-deal-with the
πράγμασιν, ἐδίδασκον αὐτοὺς μὴ κατὰ γῆν ἀλλὰ κατὰ
affairs they-were-teaching them not by land but by
θάλατταν ποιεῖσθαι τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους,
sea to-make the war the against Lacedaemonians
νομίζοντες, εἰ μὲν πεζὸν στρατόπεδον καταστήσαιντο καὶ
thinking if indeed land army they-established and
τούτῳ περιγένοιντο, τὰ περὶ τὴν ἤπειρον μόνον καλῶς
with-this prevailed the-things about the mainland only well
ἕξειν, εἰ δὲ κατὰ θάλατταν κρατήσειαν, ἅπασαν τὴν
to-be-going-to-be if but by sea they-should-conquer all —
Ἑλλάδα τῆς νίκης ταύτης μεθέξειν.
Greece of-the victory this to-be-going-to-share

56 ὅπερ συνέβη· πεισθέντων γὰρ ταῦτα τῶν
which-very happened having-been-persuaded for these-things the
στρατηγῶν καὶ ναυτικοῦ συλλεγέντος Λακεδαιμόνιοι μὲν
generals and a-navy having-been-collected Lacedaemonians indeed
κατεναυμαχήθησαν καὶ τῆς ἀρχῆς ἀπεστερήθησαν, οἱ
were-defeated-at-sea and of-the empire were-deprived the
δ᾽ Ἕλληνες ἠλευθερώθησαν, ἡ δὲ πόλις ἡμῶν τῆς
but Greeks were-freed the and city our of-the
τε παλαιᾶς δόξης μέρος τι πάλιν ἀνέλαβε καὶ τῶν
both ancient glory part some again recovered and of-the
συμμάχων ἡγεμὼν κατέστη. καὶ ταῦτ᾽ ἐπράχθη Κόνωνος
allies leader became and these-things were-done Conon
μὲν στρατηγοῦντος, Εὐαγόρου δὲ τοῦτό τε παρασχόντος
indeed being-general Evagoras but this both having-furnished
καὶ τῆς δυνάμεως τὴν πλείστην παρασκευάσαντος.
and of-the force the most having-prepared

ὑπὲρ ὧν ἡμεῖς μὲν αὐτοὺς ἐτιμήσαμεν ταῖς μεγίσταις 57
for which we indeed them honored with-the greatest
τιμαῖς καὶ τὰς εἰκόνας αὐτῶν ἐστήσαμεν, οὗπερ τὸ τοῦ Διὸς
honors and the statues of-them we-set-up where-very the — of-Zeus
ἄγαλμα τοῦ σωτῆρος, πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν,
statue the Savior near his both and them- -selves
ἀμφοτέρων ὑπόμνημα, καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας καὶ
of-both memorial both of-the greatness of-the benefaction and
τῆς φιλίας τῆς πρὸς ἀλλήλους. βασιλεὺς δ' οὐ τὴν αὐτὴν
of-the friendship the toward one-another the-king but not the same
γνώμην ἔσχε περὶ αὐτῶν, ἀλλ' ὅσῳ μείζω καὶ πλείονος
mind had about them but by-as-much greater and of-more
ἄξια κατειργάσαντο, τοσούτῳ μᾶλλον ἔδεισεν αὐτούς. περὶ
worth they-accomplished by-so-much more feared them about
μὲν οὖν Κόνωνος ἄλλος ἡμῖν ἔσται λόγος· ὅτι δὲ πρὸς
indeed then Conon other for-us will-be speech that but toward
Εὐαγόραν οὕτως ἔσχεν, οὐδ' αὐτὸς λαθεῖν ἐζήτησεν.
Evagoras so he-was-disposed not-even himself to-escape-notice sought
φαίνεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν 58
he-appears for more indeed having-been-earnest about the in
Κύπρῳ πόλεμον ἢ περὶ τοὺς ἄλλους ἅπαντας, μείζω
Cyprus war than about the others all greater
δὲ καὶ χαλεπώτερον ἐκεῖνον ἀνταγωνιστὴν νομίσας ἢ
and also harder him opponent having-thought than
Κῦρον τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα. μέγιστον
Cyrus the-one about the kingship having-disputed greatest
δὲ τεκμήριον· τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευὰς
and proof of-the-one indeed for hearing the preparations
τοσοῦτον κατεφρόνησεν, ὥστε διὰ τὸ μὴ φροντίζειν
so-much he-despised that because-of the not to-care
μικροῦ δεῖν ἔλαθεν αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς·
by-little to-lack escaped-notice him at the palace having-arrived

πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔσχεν, ὥστε
toward but this-one so from long fearfully he-was-disposed that
μεταξὺ πάσχων εὖ πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε, δίκαια
meanwhile receiving well to-war against him he-attempted just-things
μὲν οὐ ποιῶν, οὐ μὴν παντάπασιν ἀλόγως βουλευσάμενος.
indeed not doing not however altogether unreasonably having-deliberated
59 ἠπίστατο μὲν γὰρ πολλοὺς καὶ τῶν Ἑλλήνων καὶ τῶν
he-knew indeed for many both of-the Greeks and of-the
βαρβάρων ἐκ ταπεινῶν καὶ φαύλων πραγμάτων μεγάλας
barbarians from humble and mean affairs great
δυναστείας κατεργασαμένους, ᾐσθάνετο δὲ τὴν Εὐαγόρου
dominions having-achieved he-perceived and the of-Evagoras
μεγαλοψυχίαν καὶ τὰς ἐπιδόσεις αὐτῷ καὶ τῆς δόξης καὶ τῶν
magnanimity and the advances to-him both of-the glory and of-the
πραγμάτων οὐ κατὰ μικρὸν γιγνομένας ἀλλὰ καὶ τὴν φύσιν
affairs not by little happening but also the nature
ἀνυπέρβλητον ἔχοντα καὶ τὴν τύχην αὐτῷ συναγωνιζομένην·
unsurpassable having and the fortune to-him fighting-alongside

IV · THE WAR WITH THE KING, AND NICOCLES

The Great King, fearing Evagoras' power, made war on him for ten years with all his strength. Evagoras, with one city, held out against the master of Asia and ravaged Phoenicia, took Tyre by storm, and detached Cilicia from the King, and at the end the King made peace leaving him king of Salamis. Isocrates sets him beside the heroes: no mortal surpassed him in fortune, who lived to old age in health, left many children, and never lost his rule. Speeches are finer memorials than statues. So he urges Nicocles to take his own father as example, to train his soul so as to be worthy of his father and ancestors, and to keep to philosophy, as Isocrates and his other friends urge him.

ὥστ᾽ οὐχ ὑπὲρ τῶν γεγενημένων ὀργιζόμενος ἀλλὰ περὶ 60
so-that not for the-things having-happened being-angry but about
τῶν μελλόντων φοβούμενος, οὐδὲ περὶ Κύπρου μόνον
the-things to-come fearing nor about Cyprus only
δεδιὼς ἀλλὰ πολὺ περὶ μειζόνων ἐποιήσατο τὸν πόλεμον πρὸς
afraid but much about greater-things he-made the war against
αὐτόν. οὕτω δ᾽ οὖν ὥρμησεν, ὥστ᾽ εἰς τὴν στρατείαν ταύτην
him so and anyway he-set-out that on the expedition this
πλέον ἢ τάλαντα πεντακισχίλια καὶ μύρια κατηνάλωσεν.
more than talents five-thousand and ten-thousand he-spent
ἀλλ᾽ ὅμως Εὐαγόρας πάσαις ἀπολελειμμένος ταῖς 61
but nevertheless Evagoras in-all left-behind the
δυνάμεσιν, ἀντιτάξας τὴν αὐτοῦ γνώμην πρὸς τὰς οὕτως
forces having-set-against the his mind against the so
ὑπερμεγέθεις παρασκευάς, ἐπέδειξεν αὐτὸν ἐν τούτοις πολὺ
enormous preparations showed himself in these much
θαυμαστότερον ἢ τοῖς ἄλλοις τοῖς προειρημένοις. ὅτε
more-wonderful than in-the other the said-before when
μὲν γὰρ αὐτὸν εἴων εἰρήνην ἄγειν,
indeed for him they-allowed peace to-keep
τὴν αὐτοῦ πόλιν μόνην εἶχεν· ἐπειδὴ δ᾽ ἠναγκάσθη πολεμεῖν, 62
the his city alone he-held when but he-was-compelled to-war
τοιοῦτος ἦν καὶ τοιοῦτον εἶχε Πνυταγόραν τὸν υἱὸν τὸν
such he-was and such he-had Pnytagoras the son the
αὐτοῦ συναγωνιστήν, ὥστε μικροῦ μὲν ἐδέησε Κύπρον
his as-fellow-fighter that by-little indeed he-fell-short Cyprus
ἅπασαν κατασχεῖν, Φοινίκην δ᾽ ἐπόρθησε, Τύρον δὲ κατὰ
all to-seize Phoenicia but he-ravaged Tyre and by
κράτος εἷλε, Κιλικίαν δὲ βασιλέως ἀπέστησε, τοσούτους δὲ
force he-took Cilicia and from-the-king he-detached so-many and

τῶν πολεμίων ἀπώλεσεν ὥστε πολλοὺς Περσῶν πενθοῦντας
of-the enemies he-destroyed that many of-Persians mourning
τὰς αὐτῶν συμφορὰς μεμνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνου·
the their misfortunes to-remember the virtue the his
63 τελευτῶν δ' οὕτως ἐνέπλησεν αὐτοὺς τοῦ πολεμεῖν, ὥστ'
ending and so he-filled them of-the to-war that
εἰθισμένων τὸν ἄλλον χρόνον τῶν βασιλέων μὴ διαλλάττεσθαι
accustomed the other time the kings not to-be-reconciled
τοῖς ἀποστᾶσι, πρὶν κύριοι γένοιντο τῶν σωμάτων,
with-the-ones having-revolted before masters they-became of-the bodies
ἄσμενοι τὴν εἰρήνην ἐποιήσαντο, λύσαντες μὲν τὸν νόμον
gladly the peace they-made having-dissolved indeed the custom
τοῦτον, οὐδὲν δὲ κινήσαντες τῆς Εὐαγόρου τυραννίδος.
this nothing but having-disturbed of-the of-Evagoras tyranny
64 καὶ Λακεδαιμονίων μὲν τῶν καὶ δόξαν καὶ δύναμιν
and of-Lacedaemonians indeed the-ones both reputation and power
μεγίστην ἐχόντων κατ' ἐκεῖνον τὸν χρόνον ἐντὸς τριῶν
greatest having in that the time within three
ἐτῶν ἀφείλετο τὴν ἀρχήν, Εὐαγόρᾳ δὲ πολεμήσας ἔτη
years he-took-away the empire with-Evagoras but having-warred years
δέκα τῶν αὐτῶν κύριον αὐτὸν κατέλιπεν, ὥνπερ ἦν καὶ
ten of-the same master him he-left of-which-very he-was also
πρὶν εἰς τὸν πόλεμον εἰσελθεῖν. ὃ δὲ πάντων δεινότατον·
before into the war to-enter what but of-all most-terrible
τὴν γὰρ πόλιν, ἣν Εὐαγόρας ἑτέρου τυραννοῦντος
the for city which Evagoras another being-tyrant
μετὰ πεντήκοντ' ἀνδρῶν εἶλε, ταύτην βασιλεὺς ὁ μέγας
with fifty men took this the-king the great
τοσαύτην δύναμιν ἔχων οὐχ οἷός τ' ἐγένετο χειρώσασθαι.
so-great power having not able — he-was to-subdue

καίτοι πῶς ἄν τις τὴν ἀνδρίαν ἢ τὴν φρόνησιν ἢ σύμπασαν 65
and-yet how — anyone the courage or the wisdom or all-together
τὴν ἀρετὴν τὴν Εὐαγόρου φανερώτερον ἐπιδείξειεν ἢ διὰ
the virtue the of-Evagoras more-evidently could-show than through
τοιούτων ἔργων καὶ κινδύνων; οὐ γὰρ μόνον φανεῖται τοὺς
such deeds and dangers not for only he-will-appear the
ἄλλους πολέμους ἀλλὰ καὶ τὸν τῶν ἡρώων ὑπερβαλόμενος,
other wars but also the-one of-the heroes having-surpassed
τὸν ὑπὸ πάντων ἀνθρώπων ὑμνούμενον. οἱ μὲν γὰρ μεθ'
the-one by all men hymned they indeed for with
ἁπάσης τῆς Ἑλλάδος Τροίαν μόνην εἷλον, ὁ δὲ μίαν πόλιν
all — Greece Troy alone took he but one city
ἔχων πρὸς ἅπασαν τὴν Ἀσίαν ἐπολέμησεν· ὥστ' εἰ τοσοῦτοι
having against all — Asia warred so-that if as-many
τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν ἠβουλήθησαν, ὅσοι περ
in-the number to-eulogize him had-wished as-many-as very
ἐκείνους, πολὺ ἂν μείζω καὶ τὴν δόξαν αὐτῶν ἔλαβεν.
those much — greater also the glory than-they he-would-have-got
τίνα γὰρ εὑρήσομεν τῶν τότε γενομένων, εἰ τοὺς 66
whom for shall-we-find of-the-ones then having-been if the
μύθους ἀφέντες τὴν ἀλήθειαν σκοποῖμεν, τοιαῦτα
myths having-let-go the truth we-should-consider such-things
διαπεπραγμένον, ἢ τίνα τοσούτων μεταβολῶν ἐν τοῖς
having-done or whom of-so-many changes in the
πράγμασιν αἴτιον γεγενημένον; ὃς αὐτὸν μὲν ἐξ ἰδιώτου
affairs cause having-been who himself indeed from private-man
τύραννον κατέστησε, τὸ δὲ γένος ἅπαν ἀπεληλαμένον τῆς
tyrant made the but family all driven-out of-the
πολιτείας εἰς τὰς προσηκούσας τιμὰς πάλιν ἐπανήγαγε,
citizenship to the befitting honors again brought-back
τοὺς δὲ πολίτας ἐκ βαρβάρων μὲν Ἕλληνας ἐποίησεν,
the and citizens from barbarians indeed Greeks he-made

67 ἐξ ἀνάνδρων δὲ πολεμικούς, ἐξ ἀδόξων δ' ὀνομαστούς,
from cowardly and warlike from inglorious but renowned
τὸν δὲ τόπον ἄμικτον ὅλον παραλαβὼν καὶ παντάπασιν
the and region unsociable whole having-taken-over and altogether
ἐξηγριωμένον ἡμερώτερον καὶ πραότερον κατέστησεν, ἔτι
having-become-savage tamer and gentler he-made further
δὲ πρὸς τούτοις εἰς ἔχθραν μὲν βασιλεῖ καταστὰς οὕτως
and besides these into enmity indeed with-the-king having-come so
αὐτὸν ἠμύνατο καλῶς ὥστ' ἀείμνηστον γεγενῆσθαι τὸν
him he-repelled well that ever-remembered to-have-been the
πόλεμον τὸν περὶ Κύπρον, ὅτε δ' ἦν αὐτῷ σύμμαχος,
war the about Cyprus when but he-was to-him ally
τοσούτῳ χρησιμώτερον αὐτὸν παρέσχε τῶν ἄλλων
by-so-much more-useful himself he-showed than-the others
68 ὥσθ' ὁμολογουμένως μεγίστην αὐτῷ συμβαλέσθαι δύναμιν
that admittedly greatest to-him to-contribute force
εἰς τὴν ναυμαχίαν τὴν περὶ Κνίδον, ἧς γενομένης βασιλεὺς
to the sea-battle the near Cnidus which having-occurred the-king
μὲν ἁπάσης τῆς Ἀσίας κύριος κατέστη, Λακεδαιμόνιοι δ'
indeed of-all — Asia master became Lacedaemonians but
ἀντὶ τοῦ τὴν ἤπειρον πορθεῖν περὶ τῆς αὐτῶν κινδυνεύειν
instead-of the the mainland to-ravage about the their-own to-run-risks
ἠναγκάσθησαν, οἱ δ' Ἕλληνες ἀντὶ δουλείας αὐτονομίας
were-compelled the and Greeks instead-of slavery autonomy
ἔτυχον, Ἀθηναῖοι δὲ τοσοῦτον ἐπέδοσαν ὥστε τοὺς πρότερον
obtained Athenians and so-much advanced that the-ones before
αὐτῶν ἄρχοντας ἐλθεῖν αὐτοῖς τὴν ἀρχὴν δώσοντας.
them ruling to-come to-them the empire going-to-give
69 ὥστ' εἴ τις ἔροιτό με, τί νομίζω μέγιστον εἶναι τῶν
so-that if anyone should-ask me what I-think greatest to-be of-the-things
Εὐαγόρᾳ πεπραγμένων, πότερον τὰς ἐπιμελείας καὶ τὰς
by-Evagoras done whether the cares and the

παρασκευὰς τὰς πρὸς Λακεδαιμονίους, ἐξ ὧν τὰ
preparations the against Lacedaemonians from which the-things
προειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον, ἢ τὴν
said-before have-happened or the last war or the
κατάληψιν τῆς βασιλείας, ἢ τὴν ὅλην τῶν πραγμάτων
seizure of-the kingship or the whole of-the affairs
διοίκησιν, εἰς πολλὴν ἀπορίαν ἂν κατασταίην· ἀεὶ γάρ
administration into much perplexity — I-would-come always for
μοι δοκεῖ μέγιστον εἶναι καὶ θαυμαστότατον καθ' ὅ τι
to-me seems greatest to-be and most-wonderful at what ever
ἂν αὐτῶν ἐπιστήσω τὴν διάνοιαν.
— of-them I-fix the mind
ὥστ' εἴ τινες τῶν προγεγενημένων δι' ἀρετὴν 70
so-that if some of-the-ones before through virtue
ἀθάνατοι γεγόνασιν, οἶμαι κἀκεῖνον ἠξιῶσθαι
immortal have-become I-think him-too to-have-been-deemed-worthy
ταύτης τῆς δωρεᾶς, σημείοις χρώμενος, ὅτι καὶ τὸν
of-this the gift as-signs using that also the
ἐνθάδε χρόνον εὐτυχέστερον καὶ θεοφιλέστερον ἐκείνων
here time more-fortunately and more-god-belovedly than-those
διαβεβίωκεν. τῶν μὲν γὰρ ἡμιθέων τοὺς πλείστους καὶ
he-has-lived-through of-the indeed for demigods the most and
τοὺς ὀνομαστοτάτους εὑρήσομεν ταῖς μεγίσταις συμφοραῖς
the most-renowned we-shall-find in-the greatest misfortunes
περιπεσόντας, Εὐαγόρας δ' οὐ μόνον θαυμαστότατος ἀλλὰ
having-fallen Evagoras but not only most-wonderful but
καὶ μακαριστότατος ἐξ ἀρχῆς ὢν διετέλεσεν.
also most-blessed from beginning being continued
τί γὰρ ἀπέλιπεν εὐδαιμονίας, ὃς τοιούτων μὲν προγόνων 71
what for did-he-lack of-happiness who such indeed ancestors
ἔτυχεν, οἵων οὐδεὶς ἄλλος, πλὴν εἴ τις ἀπὸ τῶν αὐτῶν
got as no-one other except if anyone from the same

ἐκείνῳ γέγονεν, τοσοῦτον δὲ καὶ τῷ σώματι καὶ τῇ
as-he has-sprung so-much and both in-the body and in-the
γνώμῃ τῶν ἄλλων διήνεγκεν ὥστε μὴ μόνον Σαλαμῖνος
mind than-the others excelled that not only of-Salamis
ἀλλὰ καὶ τῆς Ἀσίας ἁπάσης ἄξιος εἶναι τυραννεῖν,
but also — of-Asia all worthy to-be to-be-tyrant
κάλλιστα δὲ κτησάμενος τὴν βασιλείαν ἐν ταύτῃ τὸν βίον
most-finely and having-acquired the kingship in this the life
διετέλεσε, θνητὸς δὲ γενόμενος ἀθάνατον τὴν περὶ αὐτοῦ
he-continued mortal and having-been-born immortal the about him
μνήμην κατέλιπε, τοσοῦτον δ' ἐβίω χρόνον ὥστε μήτε
memory he-left so-much and he-lived time that neither
τοῦ γήρως ἄμοιρος γενέσθαι μήτε τῶν νόσων μετασχεῖν
of-the old-age without-share to-become nor of-the diseases to-share
τῶν διὰ ταύτην τὴν ἡλικίαν γιγνομένων.
the through this the age arising

72 πρὸς δὲ τούτοις, ὃ δοκεῖ σπανιώτατον εἶναι καὶ
besides and these what seems rarest to-be and
χαλεπώτατον, εὐπαιδίας τυχεῖν ἅμα καὶ πολυπαιδίας,
hardest of-good-children to-obtain at-the-same-time and of-many-children
οὐδὲ τούτου διήμαρτεν, ἀλλὰ καὶ τοῦτ' αὐτῷ συνέπεσεν.
not-even this he-missed but also this to-him fell-out
καὶ τὸ μέγιστον, ὅτι τῶν ἐξ αὐτοῦ γεγονότων οὐδὲν
and the greatest that of-the-ones from him born none
κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον, ἀλλὰ
he-left by-private names called but
τὸν μὲν βασιλέα καλούμενον, τοὺς δ' ἄνακτας, τὰς
the-one indeed king called the-ones but princes the-others
δ' ἀνάσσας. ὥστ' εἴ τινες τῶν ποιητῶν περί τινος τῶν
but princesses so-that if some of-the poets about some of-the-ones
προγεγενημένων ὑπερβολαῖς κέχρηνται, λέγοντες, ὡς ἦν
before with-exaggerations have-used saying that he-was

θεὸς ἐν ἀνθρώποις ἢ δαίμων θνητός, ἅπαντα τὰ τοιαῦτα
a-god among men or a-divinity mortal all the such-things
περὶ τὴν ἐκείνου φύσιν ῥηθῆναι μάλιστ' ἂν ἁρμόσειεν.
about the his nature to-be-spoken most — would-fit
τῶν μὲν οὖν εἰς Εὐαγόραν πολλὰ μὲν οἶμαι 73
of-the-things indeed then toward Evagoras many-things indeed I-think
παραλιπεῖν· ὑστερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτοῦ, μεθ'
to-omit I-come-too-late for for-the prime the my-own with
ἧς ἀκριβέστερον καὶ φιλοπονώτερον ἐξειργασάμην ἂν
which more-exactly and more-laboriously I-would-have-worked-out —
τὸν ἔπαινον τοῦτον· οὐ μὴν ἀλλὰ καὶ νῦν, ὅσον κατὰ
the praise this not however but also now as-far-as according-to
τὴν ἐμὴν δύναμιν, οὐκ ἀνεγκωμίαστός ἐστιν. ἐγὼ δ' ὦ
the my power not uneulogized he-is I but O
Νικόκλεις ἡγοῦμαι καλὰ μὲν εἶναι μνημεῖα καὶ τὰς τῶν
Nicocles think fine indeed to-be memorials also the of-the
σωμάτων εἰκόνας, πολὺ μέντοι πλείονος ἀξίας τὰς τῶν
bodies images much however of-more worth the of-the
πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις
actions and of-the mind which in the speeches — anyone
μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειεν.
only in-the artistically being could-contemplate
προκρίνω δὲ ταύτας πρῶτον μὲν εἰδὼς τοὺς καλοὺς 74
I-prefer and these first indeed knowing the fine
κἀγαθοὺς τῶν ἀνδρῶν οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ
and-good of-the men not so on the beauty of-the
σώματος σεμνυνομένους ὡς ἐπὶ τοῖς ἔργοις καὶ τῇ γνώμῃ
body priding-themselves as on the deeds and the mind
φιλοτιμουμένους· ἔπειθ' ὅτι τοὺς μὲν τύπους ἀναγκαῖον
taking-pride then that the indeed figures necessary-it-is
παρὰ τούτοις εἶναι μόνοις, παρ' οἷς ἂν σταθῶσι, τοὺς δὲ
among those to-be alone among whom — they-are-set-up the but

λόγους ἐξενεχθῆναί θ' οἷόν τ' ἐστὶν εἰς τὴν Ἑλλάδα καὶ
speeches to-be-carried-abroad both possible — is into — Greece and
διαδοθέντας ἐν ταῖς τῶν εὖ φρονούντων διατριβαῖς
having-been-distributed in the of-the-ones well thinking discussions
ἀγαπᾶσθαι, παρ' οἷς κρεῖττόν ἐστιν ἢ παρὰ τοῖς ἄλλοις
to-be-loved among whom better it-is than among the others
ἅπασιν εὐδοκιμεῖν·
all to-be-well-thought-of

75 πρὸς δὲ τούτοις ὅτι τοῖς μὲν πεπλασμένοις καὶ τοῖς
besides and these that to-the indeed molded and the
γεγραμμένοις οὐδεὶς ἂν τὴν τοῦ σώματος φύσιν ὁμοιώσειε,
painted no-one — the of-the body nature could-make-like
τοὺς δὲ τρόπους τοὺς ἀλλήλων καὶ τὰς διανοίας τὰς
the but characters the of-one-another and the minds the
ἐν τοῖς λεγομένοις ἐνούσας ῥᾴδιόν ἐστι μιμεῖσθαι τοῖς
in the things-said being-in easy is to-imitate for-the-ones
μὴ ῥᾳθυμεῖν αἱρουμένοις ἀλλὰ χρηστοῖς εἶναι βουλομένοις.
not to-be-idle choosing but good to-be wishing

76 ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γράφειν τὸν λόγον
of-which for-the-sake also more I-attempted to-write the speech
τοῦτον, ἡγούμενος καὶ σοὶ καὶ τοῖς σοῖς παισὶ καὶ
this thinking both for-you and for-the your children and
τοῖς ἄλλοις τοῖς ἀπ' Εὐαγόρου γεγονόσι πολὺ καλλίστην
for-the others the from Evagoras born much finest
ἂν γενέσθαι ταύτην παράκλησιν, εἴ τις ἀθροίσας τὰς
— to-be this exhortation if anyone having-collected the
ἀρετὰς τὰς ἐκείνου καὶ τῷ λόγῳ κοσμήσας παραδοίη
virtues the his and with-the speech having-adorned should-hand-over
θεωρεῖν ὑμῖν καὶ συνδιατρίβειν αὐταῖς.
to-contemplate to-you and to-spend-time-with them

τοὺς μὲν γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν 77
the indeed for others we-urge to the philosophy
ἑτέρους ἐπαινοῦντες, ἵνα ζηλοῦντες τοὺς εὐλογουμένους τῶν
others praising so-that emulating the-ones eulogized of-the
αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν, ἐγὼ δὲ σὲ καὶ τοὺς
same as-those pursuits they-may-desire I but you and the
σοὺς οὐκ ἀλλοτρίοις παραδείγμασι χρώμενος ἀλλ᾽ οἰκείοις
your not foreign examples using but own
παρακαλῶ, καὶ συμβουλεύω προσέχειν τὸν νοῦν, ὅπως καὶ
I-exhort and I-advise to-turn the mind how both
λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσει τῶν Ἑλλήνων.
to-speak and to-act than-none less you-will-be-able of-the Greeks
καὶ μὴ νόμιζέ με καταγιγνώσκειν, ὡς νῦν ἀμελεῖς, ὅτι 78
and not think me to-condemn that now you-neglect that
πολλάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν. οὐ γὰρ οὔτ᾽
often you I-urge about the same-things not for either
ἐμὲ λέληθας οὔτε τοὺς ἄλλους, ὅτι καὶ πρῶτος καὶ
me you-have-escaped or the others that both first and
μόνος τῶν ἐν τυραννίδι καὶ πλούτῳ καὶ τρυφαῖς ὄντων
alone of-the-ones in tyranny and wealth and luxuries being
φιλοσοφεῖν καὶ πονεῖν ἐπικεχείρηκας, οὐδ᾽ ὅτι πολλοὺς
to-philosophize and to-toil you-have-attempted nor that many
τῶν βασιλέων ποιήσεις ζηλώσαντας τὴν σὴν παίδευσιν
of-the kings you-will-make having-emulated the your education
τούτων τῶν διατριβῶν ἐπιθυμεῖν, ἀφεμένους ἐφ᾽ οἷς νῦν
these the pursuits to-desire having-let-go at which now
λίαν χαίρουσιν.
too they-rejoice
ἀλλ᾽ ὅμως ἐγὼ ταῦτ᾽ εἰδὼς οὐδὲν ἧττον καὶ ποιῶ καὶ 79
but nevertheless I these-things knowing in-nothing less both I-do and
ποιήσω ταὐτόν, ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ θεαταί·
I-shall-do the-same which-very in the athletic contests the spectators

καὶ γὰρ ἐκεῖνοι παρακελεύονται τῶν δρομέων οὐ τοῖς
and for those urge of-the runners not the-ones
ἀπολελειμμένοις ἀλλὰ τοῖς περὶ τῆς νίκης ἁμιλλωμένοις.
left-behind but the-ones for the victory competing
80 ἐμὸν μὲν οὖν ἔργον καὶ τῶν ἄλλων φίλων τοιαῦτα
mine indeed then task and of-the other friends such-things
καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν μέλλομέν σε παροξύνειν
both to-say and to-write from which we-are-going you to-spur-on
ὀρέγεσθαι τούτων, ὧνπερ καὶ νῦν τυγχάνεις ἐπιθυμῶν· σοὶ
to-reach-for these which-very also now you-happen desiring for-you
δὲ προσήκει μηδὲν ἐλλείπειν ἀλλ' ὥσπερ ἐν τῷ παρόντι καὶ
but it-befits in-nothing to-fall-short but as in the present also
τὸν λοιπὸν χρόνον ἐπιμελεῖσθαι καὶ τὴν ψυχὴν ἀσκεῖν, ὅπως
the remaining time to-take-care and the soul to-train so-that
ἄξιος ἔσει καὶ τοῦ πατρὸς καὶ τῶν ἄλλων προγόνων. ὡς
worthy you-will-be both of-the father and of-the other ancestors as
ἅπασι μὲν προσήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρόνησιν,
for-all indeed it-befits of much to-make the wisdom
μάλιστα δ' ὑμῖν τοῖς πλείστων καὶ μεγίστων κυρίοις οὖσιν.
most but for-you the-ones of-most and greatest masters being
81 χρὴ δ' οὐκ ἀγαπᾶν, εἰ τῶν παρόντων τυγχάνεις ὢν
it-is-necessary and not to-be-content if than-the present you-happen being
ἤδη κρείττων, ἀλλ' ἀγανακτεῖν, εἰ τοιοῦτος μὲν ὢν αὐτὸς
already better but to-be-indignant if such indeed being yourself
τὴν φύσιν, γεγονὼς δὲ τὸ μὲν παλαιὸν ἀπὸ Διός, τὸ
in-the nature having-been-born and the indeed ancient from Zeus the
δ' ὑπογυιότατον ἐξ ἀνδρὸς τοιούτου τὴν ἀρετήν, μὴ πολὺ
but most-recent from a-man such in-the virtue not much
διοίσεις καὶ τῶν ἄλλων καὶ τῶν ἐν ταῖς αὐταῖς σοι
you-will-excel both the others and the-ones in the same as-you
τιμαῖς ὄντων. ἔστι δ' ἐπὶ σοὶ μὴ διαμαρτεῖν τούτων· ἂν
honors being it-is and in you not to-miss these if

γὰρ ἐμμένῃς τῇ φιλοσοφίᾳ καὶ τοσοῦτον ἐπιδιδῷς, ὅσον
for you-abide-by the philosophy and so-much advance as-much
περ νῦν, ταχέως γενήσει τοιοῦτος, οἷόν σε προσήκει.
very now quickly you-will-become such as you befits

ISOCRATES

ΕΛΕΝΗ

Helen

I · AGAINST THE SOPHISTS, AND HELEN'S BIRTH

Some men pride themselves on arguing absurd paradoxes, that courage, wisdom, and justice are one and the same, or that nothing exists, and they waste their pupils' time on eristic and on praising beggars and bumblebees, when they should seek the truth about public affairs. The author of a speech on Helen has erred too, for he wrote a defense rather than a praise of her. Isocrates will praise her as she deserves. Of the many sons of Zeus she was his only daughter, and he cared more for her than for Heracles: he gave Heracles strength and her beauty, which conquers strength itself. Her beauty brought her fame and strife, and Theseus, seeing her still a girl, carried her off.

εἰσί τινες οἳ μέγα φρονοῦσιν, ἢν ὑπόθεσιν ἄτοπον καὶ 1
there-are some who great think if a-subject strange and
παράδοξον ποιησάμενοι περὶ ταύτης ἀνεκτῶς εἰπεῖν δυνηθῶσι·
paradoxical having-made about it tolerably to-speak they-be-able
καὶ καταγεγηράκασιν οἱ μὲν οὐ φάσκοντες οἷόν τ' εἶναι
and have-grown-old the-ones indeed not claiming possible — to-be
ψευδῆ λέγειν οὐδ' ἀντιλέγειν οὐδὲ δύω λόγω περὶ τῶν
false-things to-say nor to-contradict nor two speeches about the
αὐτῶν πραγμάτων ἀντειπεῖν, οἱ δὲ διεξιόντες ὡς ἀνδρία
same affairs to-oppose the-ones but going-through that courage
καὶ σοφία καὶ δικαιοσύνη ταὐτόν ἐστι, καὶ φύσει μὲν οὐδὲν
and wisdom and justice the-same is and by-nature indeed none
αὐτῶν ἔχομεν, μία δ' ἐπιστήμη καθ' ἁπάντων ἐστίν· ἄλλοι
of-them we-have one but knowledge about all is others
δὲ περὶ τὰς ἔριδας διατρίβουσι τὰς οὐδὲν μὲν ὠφελούσας,
but about the disputations spend-time the in-nothing indeed benefiting
πράγματα δὲ παρέχειν τοῖς πλησιάζουσι δυναμένας.
troubles but to-cause for-the associates able

2 ἐγὼ δ᾽ εἰ μὲν ἑώρων νεωστὶ τὴν περιεργίαν ταύτην
I but if indeed I-saw recently the meddlesomeness this
ἐν τοῖς λόγοις ἐγγεγενημένην καὶ τούτους ἐπὶ τῇ
in the speeches having-arisen and these on the
καινότητι τῶν εὑρημένων φιλοτιμουμένους, οὐκ ἂν ὁμοίως
novelty of-the inventions priding-themselves not — alike
ἐθαύμαζον αὐτῶν· νῦν δὲ τίς ἐστιν οὕτως ὀψιμαθής,
I-would-wonder-at them now but who is so late-learning
ὅστις οὐκ οἶδε Πρωταγόραν καὶ τοὺς κατ᾽ ἐκεῖνον τὸν
who not knows Protagoras and the in that the
χρόνον γενομένους σοφιστάς, ὅτι καὶ τοιαῦτα καὶ πολὺ
time having-been sophists that both such-things and much
τούτων πραγματωδέστερα συγγράμματα κατέλιπον ἡμῖν;
than-these more-troublesome writings they-left us
3 πῶς γὰρ ἄν τις ὑπερβάλοιτο Γοργίαν τὸν τολμήσαντα
how for — anyone could-surpass Gorgias the-one having-dared
λέγειν, ὡς οὐδὲν τῶν ὄντων ἔστιν, ἢ Ζήνωνα
to-say that nothing of-the things-that-are is or Zeno
τὸν ταὐτὰ δυνατὰ καὶ πάλιν ἀδύνατα πειρώμενον
the-one the-same-things possible and again impossible trying
ἀποφαίνειν, ἢ Μέλισσον, ὃς ἀπείρων τὸ πλῆθος
to-show or Melissus who infinite in-the number
πεφυκότων τῶν πραγμάτων ὡς ἑνὸς ὄντος τοῦ παντὸς
being-by-nature the things as one being the whole
ἐπεχείρησεν ἀποδείξεις εὑρίσκειν;
attempted proofs to-find
4 ἀλλ᾽ ὅμως οὕτω φανερῶς ἐκείνων ἐπιδειξάντων, ὅτι ῥᾴδιόν
but nevertheless so clearly those having-shown that easy
ἐστι, περὶ ὧν ἄν τις πρόθηται, ψευδῆ μηχανήσασθαι
it-is about what — anyone proposes false to-contrive
λόγον, ἔτι περὶ τὸν τόπον τοῦτον διατρίβουσιν· οὓς
argument still about the topic this they-spend-time whom

ἐχρῆν ἀφεμένους ταύτης τῆς τερθρείας, τῆς ἐν μὲν
it-was-necessary having-let-go this the trickery the in indeed
τοῖς λόγοις ἐξελέγχειν προσποιουμένης, ἐν δὲ τοῖς ἔργοις
the arguments to-refute pretending in but the deeds
πολὺν ἤδη χρόνον ἐξεληλεγμένης, τὴν ἀλήθειαν διώκειν,
long already time refuted the truth to-pursue
καὶ περὶ τὰς πράξεις, ἐν αἷς πολιτευόμεθα,
and about the actions in which we-live-as-citizens
τοὺς συνόντας παιδεύειν, καὶ περὶ τὴν ἐμπειρίαν τὴν 5
the associates to-educate and in the experience the
τούτων γυμνάζειν, ἐνθυμουμένους, ὅτι πολὺ κρεῖττόν ἐστι
of-these to-exercise considering that much better it-is
περὶ τῶν χρησίμων ἐπιεικῶς δοξάζειν ἢ περὶ τῶν
about the useful-things reasonably to-opine than about the
ἀχρήστων ἀκριβῶς ἐπίστασθαι, καὶ μικρὸν προέχειν ἐν
useless-things exactly to-know and little to-excel in
τοῖς μεγάλοις μᾶλλον ἢ πολὺ διαφέρειν ἐν τοῖς μικροῖς
the great-things rather than much to-differ in the small-things
καὶ τοῖς μηδὲν πρὸς τὸν βίον ὠφελοῦσιν.
and the-things nothing toward the life benefiting
ἀλλὰ γὰρ οὐδενὸς αὐτοῖς ἄλλου μέλει πλὴν τοῦ χρηματίζεσθαι 6
but for for-nothing to-them other cares except the to-make-money
παρὰ τῶν νεωτέρων. ἔστι δ' ἡ περὶ τὰς ἔριδας φιλοσοφία
from the younger is and the about the disputations philosophy
δυναμένη τοῦτο ποιεῖν· οἱ γὰρ μήτε τῶν ἰδίων πω
able this to-do the-ones for neither of-the private-things yet
μήτε τῶν κοινῶν φροντίζοντες τούτοις μάλιστα χαίρουσι
nor of-the public caring in-these most delight
τῶν λόγων, οἳ μηδὲ πρὸς ἓν χρήσιμοι τυγχάνουσιν ὄντες.
of-the speeches which not-even for one useful happen being

7 τοῖς μὲν οὖν τηλικούτοις πολλὴ συγγνώμη ταύτην ἔχειν
for-the indeed then so-young much pardon this to-have
τὴν διάνοιαν· ἐπὶ γὰρ ἁπάντων τῶν πραγμάτων πρὸς
the mind in for all the affairs toward
τὰς περιττότητας καὶ τὰς θαυματοποιίας οὕτω διακείμενοι
the extravagances and the jugglery so disposed
διατελοῦσι· τοῖς δὲ παιδεύειν προσποιουμένοις ἄξιον
they-continue the-ones but to-educate pretending worthy
ἐπιτιμᾶν, ὅτι κατηγοροῦσι μὲν τῶν ἐπὶ τοῖς ἰδίοις
to-censure that they-accuse indeed the-ones in the private
συμβολαίοις ἐξαπατώντων καὶ μὴ δικαίως τοῖς λόγοις
contracts deceiving and not justly the speeches
χρωμένων, αὐτοὶ δ' ἐκείνων δεινότερα ποιοῦσιν· οἱ
using themselves but than-those more-terrible-things do they
μὲν γὰρ ἄλλους τινὰς ἐζημίωσαν, οὗτοι δὲ τοὺς συνόντας
indeed for others some harmed these but the associates
μάλιστα βλάπτουσιν.
most harm

8 τοσοῦτον δ' ἐπιδεδωκέναι πεποιήκασι τὸ ψευδολογεῖν,
so-far and to-advance they-have-made the lying
ὥστ' ἤδη τινές, ὁρῶντες τούτους ἐκ τῶν τοιούτων
that already some seeing these from the such-things
ὠφελουμένους, τολμῶσι γράφειν, ὡς ἔστιν ὁ τῶν
benefiting dare to-write that is the of-the
πτωχευόντων καὶ φευγόντων βίος ζηλωτότερος ἢ τῶν
beggars and exiles life more-enviable than of-the
ἄλλων ἀνθρώπων, καὶ ποιοῦνται τεκμήριον, ὡς εἰ περὶ
other men and make proof that if about
πονηρῶν πραγμάτων ἔχουσί τι λέγειν, περί γε τῶν
wicked things they-have something to-say about at-least the
καλῶν κἀγαθῶν ῥᾳδίως εὐπορήσουσιν.
fine and-good easily they-will-be-well-supplied

ἐμοὶ δὲ δοκεῖ πάντων εἶναι καταγελαστότατον τὸ 9
to-me but seems of-all to-be most-ridiculous the
διὰ τούτων τῶν λόγων ζητεῖν πείθειν, ὡς περὶ τῶν
through these the speeches to-seek to-persuade that about the
πολιτικῶν ἐπιστήμην ἔχουσιν, ἐξὸν ἐν αὐτοῖς
political-affairs knowledge they-have it-being-possible in the-very-things
οἷς ἐπαγγέλλονται τὴν ἐπίδειξιν ποιεῖσθαι· τοὺς γὰρ
which they-profess the display to-make the-ones for
ἀμφισβητοῦντας τοῦ φρονεῖν καὶ φάσκοντας εἶναι σοφιστὰς
laying-claim to-the to-think and claiming to-be sophists
οὐκ ἐν τοῖς ἠμελημένοις ὑπὸ τῶν ἄλλων, ἀλλ' ἐν
not in the-things neglected by the others but in
οἷς ἅπαντές εἰσιν ἀνταγωνισταί, προσήκει διαφέρειν καὶ
what all are competitors it-befits to-excel and
κρείττους εἶναι τῶν ἰδιωτῶν.
better to-be than-the laymen
νῦν δὲ παραπλήσιον ποιοῦσιν, ὥσπερ ἂν εἴ τις 10
now but like-thing they-do as — if anyone
προσποιοῖτο κράτιστος εἶναι τῶν ἀθλητῶν ἐνταῦθα
should-pretend strongest to-be of-the athletes there
καταβαίνων, οὗ μηδεὶς ἂν ἄλλος ἀξιώσειεν. τίς γὰρ ἂν
going-down where no-one — other would-think-fit who for —
τῶν εὖ φρονούντων συμφορὰς ἐπαινεῖν ἐπιχειρήσειεν;
of-the-ones well thinking misfortunes to-praise would-attempt
ἀλλὰ δῆλον, ὅτι δι' ἀσθένειαν ἐνταῦθα καταφεύγουσιν.
but clear that through weakness there they-take-refuge
ἔστι γὰρ τῶν μὲν τοιούτων συγγραμμάτων μία τις ὁδός, 11
there-is for of-the indeed such writings one some road
ἣν οὔθ' εὑρεῖν οὔτε μαθεῖν οὔτε μιμήσασθαι δύσκολόν
which neither to-find nor to-learn nor to-imitate hard
ἐστιν· οἱ δὲ κοινοὶ καὶ πιστοὶ καὶ τούτοις ὅμοιοι τῶν
is the-ones but common and trustworthy and to-these like of-the

λόγων διὰ πολλῶν ἰδεῶν καὶ καιρῶν δυσκαταμαθήτων
speeches through many forms and occasions hard-to-learn
εὑρίσκονταί τε καὶ λέγονται, καὶ τοσούτῳ χαλεπωτέραν
are-found both and are-spoken and by-so-much harder
ἔχουσι τὴν σύνθεσιν, ὅσῳ περ τὸ σεμνύνεσθαι τοῦ
have the composition by-as-much very the to-be-dignified than-the
σκώπτειν καὶ τὸ σπουδάζειν τοῦ παίζειν ἐπιπονώτερόν
to-jest and the to-be-serious than-the to-play more-laborious
ἐστιν. σημεῖον δὲ μέγιστον·
is sign and greatest
12 τῶν μὲν γὰρ τοὺς βομβυλιοὺς καὶ τοὺς ἅλας καὶ
of-the-ones indeed for the bumblebees and the salts and
τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν οὐδεὶς πώποτε λόγων
the such-things having-wished to-praise no-one ever of-words
ἠπόρησεν, οἱ δὲ περὶ τῶν ὁμολογουμένων ἀγαθῶν ἢ
was-at-a-loss the-ones but about the agreed goods or
καλῶν ἢ τῶν διαφερόντων ἐπ᾽ ἀρετῇ λέγειν ἐπιχειρήσαντες
fine-things or the-ones excelling in virtue to-speak having-attempted
πολὺ καταδεέστερον τῶν ὑπαρχόντων ἅπαντες εἰρήκασιν.
much inferior than-the realities all have-spoken
13 οὐ γὰρ τῆς αὐτῆς γνώμης ἐστὶν ἀξίως εἰπεῖν περὶ
not for of-the same mind it-is worthily to-speak about
ἑκατέρων αὐτῶν, ἀλλὰ τὰ μὲν ῥᾴδιον τοῖς λόγοις
each of-them but the-things indeed easy by-the words
ὑπερβαλέσθαι, τῶν δὲ χαλεπὸν τοῦ μεγέθους ἐφικέσθαι·
to-exceed of-the-things but hard the greatness to-attain
καὶ περὶ μὲν τῶν δόξαν ἐχόντων σπάνιον εὑρεῖν, ἃ
and about indeed the-things reputation having rare to-find what
μηδεὶς πρότερον εἴρηκε, περὶ δὲ τῶν φαύλων καὶ ταπεινῶν
no-one before has-said about but the mean and humble
ὅ τι ἄν τις τύχῃ φθεγξάμενος, ἅπαν ἴδιόν ἐστιν.
what ever — anyone chances having-uttered all peculiar is

διὸ καὶ τὸν γράψαντα περὶ τῆς Ἑλένης ἐπαινῶ 14
therefore also the-one having-written about — Helen I-praise
μάλιστα τῶν εὖ λέγειν τι βουληθέντων, ὅτι περὶ
most of-the-ones well to-say something having-wished that about
τοιαύτης ἐμνήσθη γυναικός, ἣ καὶ τῷ γένει καὶ τῷ
such he-made-mention a-woman who both in-the birth and in-the
κάλλει καὶ τῇ δόξῃ πολὺ διήνεγκεν. οὐ μὴν ἀλλὰ καὶ
beauty and in-the reputation much excelled not however but also
τοῦτον μικρόν τι παρέλαθεν· φησὶ μὲν γὰρ ἐγκώμιον
this-man small something escaped he-says indeed for an-encomium
γεγραφέναι περὶ αὐτῆς, τυγχάνει δ' ἀπολογίαν εἰρηκὼς
to-have-written about her he-happens but a-defense having-spoken
ὑπὲρ τῶν ἐκείνῃ πεπραγμένων.
for the-things by-her done
ἔστι δ' οὐκ ἐκ τῶν αὐτῶν ἰδεῶν οὐδὲ περὶ τῶν αὐτῶν 15
it-is and not from the same forms nor about the same-things
ὁ λόγος, ἀλλὰ πᾶν τοὐναντίον· ἀπολογεῖσθαι μὲν γὰρ
the speech but all the-opposite to-defend indeed for
προσήκει περὶ τῶν ἀδικεῖν αἰτίαν ἐχόντων, ἐπαινεῖν δὲ
it-befits about the-ones to-do-wrong charge having to-praise but
τοὺς ἐπ' ἀγαθῷ τινὶ διαφέροντας. ἵνα δὲ μὴ δοκῶ
the-ones in good something excelling so-that and not I-may-seem
τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾶν τοῖς ἄλλοις μηδὲν ἐπιδεικνὺς
the easiest to-do to-censure the others nothing showing
τῶν ἐμαυτοῦ, πειράσομαι περὶ τῆς αὐτῆς ταύτης εἰπεῖν,
of-the my-own I-shall-try about the same this to-speak
παραλιπὼν ἅπαντα τὰ τοῖς ἄλλοις εἰρημένα.
having-omitted all the-things by-the others said
τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου ποιήσομαι τὴν ἀρχὴν 16
the indeed then beginning of-the speech I-shall-make the beginning
τοῦ γένους αὐτῆς. πλείστων γὰρ ἡμιθέων ὑπὸ Διὸς
of-the race her of-most for demigods by Zeus

γενηθέντων μόνης ταύτης γυναικὸς πατὴρ ἠξίωσε
begotten of-only this woman father he-thought-fit
κληθῆναι. σπουδάσας δὲ μάλιστα περί τε τὸν ἐξ
to-be-called having-been-earnest and most about both the-one from
Ἀλκμήνης καὶ τοὺς ἐκ Λήδας, τοσούτῳ μᾶλλον Ἑλένην
Alcmene and the-ones from Leda so-much more Helen
Ἡρακλέους προὐτίμησεν, ὥστε τῷ μὲν ἰσχὺν ἔδωκεν,
than-Heracles preferred that to-the-one indeed strength he-gave
ἣ βίᾳ τῶν ἄλλων κρατεῖν δύναται, τῇ δὲ κάλλος
which by-force the others to-master is-able to-the-other but beauty
ἀπένειμεν, ὃ καὶ τῆς ῥώμης αὐτῆς ἄρχειν πέφυκεν.
he-assigned which also the strength itself to-rule is-by-nature
17 εἰδὼς δὲ τὰς ἐπιφανείας καὶ τὰς λαμπρότητας οὐκ ἐκ τῆς
knowing and the distinctions and the brilliances not from the
ἡσυχίας ἀλλ᾽ ἐκ τῶν πολέμων καὶ τῶν ἀγώνων γιγνομένας,
quiet but from the wars and the contests arising
βουλόμενος αὐτῶν μὴ μόνον τὰ σώματ᾽ εἰς θεοὺς ἀναγαγεῖν
wishing of-them not only the bodies into gods to-lead-up
ἀλλὰ καὶ τὰς δόξας ἀειμνήστους καταλιπεῖν, τοῦ μὲν
but also the reputations ever-remembered to-leave of-the-one indeed
ἐπίπονον καὶ φιλοκίνδυνον τὸν βίον κατέστησε, τῆς
laborious and danger-loving the life he-made of-the-other
δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησεν.
but admired and fought-over the nature he-made
18 καὶ πρῶτον μὲν Θησεύς, ὁ λεγόμενος μὲν Αἰγέως,
and first indeed Theseus the-one said indeed of-Aegeus
γενόμενος δ᾽ ἐκ Ποσειδῶνος, ἰδὼν αὐτὴν οὔπω μὲν
born but of Poseidon having-seen her not-yet indeed
ἀκμάζουσαν, ἤδη δὲ τῶν ἄλλων διαφέρουσαν, τοσοῦτον
in-her-prime already but the others excelling so-much
ἡττήθη τοῦ κάλλους ὁ κρατεῖν τῶν ἄλλων εἰθισμένος,
was-overcome by-the beauty the-one to-master the others accustomed

ὥσθ᾽ ὑπαρχούσης αὐτῷ καὶ πατρίδος μεγίστης καὶ βασιλείας
that existing to-him both fatherland greatest and kingship
ἀσφαλεστάτης ἡγησάμενος οὐκ ἄξιον εἶναι ζῆν ἐπὶ τοῖς
safest thinking not worthy to-be to-live on the
παροῦσιν ἀγαθοῖς ἄνευ τῆς πρὸς ἐκείνην οἰκειότητος,
present goods without the with her intimacy
ἐπειδὴ παρὰ τῶν κυρίων οὐχ οἷός τ᾽ ἦν αὐτὴν λαβεῖν, ἀλλ᾽ 19
when from the guardians not able — he-was her to-get but
ἐπέμενον τήν τε τῆς παιδὸς ἡλικίαν καὶ τὸν χρησμὸν
they-were-waiting-for the both of-the girl age and the oracle
τὸν παρὰ τῆς Πυθίας, ὑπεριδὼν τὴν ἀρχὴν τὴν Τυνδάρεω
the from the Pythia having-disdained the rule the of-Tyndareus
καὶ καταφρονήσας τῆς ῥώμης τῆς Κάστορος καὶ Πολυδεύκους
and having-despised the strength the of-Castor and Polydeuces
καὶ πάντων τῶν ἐν Λακεδαίμονι δεινῶν ὀλιγωρήσας,
and all the in Lacedaemon terrors having-made-light-of
βίᾳ λαβὼν αὐτὴν εἰς Ἄφιδναν τῆς Ἀττικῆς κατέθετο,
by-force having-taken her to Aphidna — of-Attica he-deposited
καὶ τοσαύτην χάριν ἔσχε Πειρίθῳ τῷ μετασχόντι τῆς 20
and so-great gratitude he-had to-Peirithous the-one having-shared of-the
ἁρπαγῆς, ὥστε βουληθέντος αὐτοῦ μνηστεῦσαι Κόρην
abduction that having-wished him to-woo Kore
τὴν Διὸς καὶ Δήμητρος, καὶ παρακαλοῦντος ἐπὶ τὴν
the of-Zeus and Demeter and summoning to the
εἰς Ἅιδου κατάβασιν, ἐπειδὴ συμβουλεύων οὐχ οἷός τ᾽
into Hades' descent when advising not able —
ἦν ἀποτρέπειν, προδήλου τῆς συμφορᾶς οὔσης ὅμως
he-was to-dissuade evident the disaster being nevertheless
αὐτῷ συνηκολούθησε, νομίζων ὀφείλειν τοῦτον τὸν ἔρανον,
him he-followed thinking to-owe this the contribution

μηδενὸς ἀποστῆναι τῶν ὑπὸ Πειρίθου προσταχθέντων
from-nothing to-stand-off of-the-things by Peirithous ordered
ἀνθ' ὧν ἐκεῖνος αὐτῷ συνεκινδύνευσεν.
in-return-for which he him ran-risks-with

21 εἰ μὲν οὖν ὁ ταῦτα πράξας εἷς ἦν τῶν τυχόντων ἀλλὰ
if indeed then the-one these-things having-done one was of-the chance-ones but
μὴ τῶν πολὺ διενεγκόντων, οὐκ ἄν πω δῆλος ἦν ὁ
not of-the-ones much having-excelled not — yet clear would-be the
λόγος, πότερον Ἑλένης ἔπαινος ἢ κατηγορία Θησέως ἐστίν·
speech whether of-Helen praise or accusation of-Theseus it-is
νῦν δὲ τῶν μὲν ἄλλων τῶν εὐδοκιμησάντων εὑρήσομεν
now but of-the indeed others of-the-ones well-reputed we-shall-find
τὸν μὲν ἀνδρίας, τὸν δὲ σοφίας, τὸν δ' ἄλλου τινὸς
the-one indeed of-courage the-other but of-wisdom the-other but of-other some
τῶν τοιούτων μερῶν ἀπεστερημένον, τοῦτον δὲ μόνον οὐδ'
of-the such parts deprived this-one but alone not-even
ἑνὸς ἐνδεᾶ γενόμενον, ἀλλὰ παντελῆ τὴν ἀρετὴν κτησάμενον.
of-one lacking having-been but complete the virtue having-acquired

22 δοκεῖ δέ μοι πρέπειν περὶ αὐτοῦ καὶ διὰ μακροτέρων
it-seems and to-me to-befit about him also through longer-words
εἰπεῖν· ἡγοῦμαι γὰρ ταύτην μεγίστην εἶναι πίστιν τοῖς
to-speak I-think for this greatest to-be proof for-the-ones
βουλομένοις Ἑλένην ἐπαινεῖν, ἣν ἐπιδείξωμεν τοὺς
wishing Helen to-praise if we-show the-ones
ἀγαπήσαντας καὶ θαυμάσαντας ἐκείνην αὐτοὺς τῶν ἄλλων
having-loved and having-admired her themselves than-the others
θαυμαστοτέρους ὄντας. ὅσα μὲν γὰρ ἐφ' ἡμῶν γέγονεν,
more-admirable being as-much-as indeed for in our-time has-happened
εἰκότως ἂν ταῖς δόξαις ταῖς ἡμετέραις αὐτῶν διακρίνοιμεν,
reasonably — by-the opinions the our own we-might-judge

περὶ δὲ τῶν οὕτω παλαιῶν προσήκει τοῖς κατ᾽ ἐκεῖνον
about but the-things so ancient it-befits with-the-ones in that
τὸν χρόνον εὖ φρονήσασιν ὁμονοοῦντας ἡμᾶς φαίνεσθαι.
the time well having-thought agreeing us to-appear

II · THE PRAISE OF THESEUS

Theseus' judgment is proof of Helen's worth, so Isocrates praises him. He was the son of Aegeus, or of Poseidon, and a rival of Heracles, but where Heracles' labors served Eurystheus, Theseus chose dangers that benefited the Greeks and his own city: he subdued the bull Poseidon had loosed on the land, the centaurs, and the Minotaur, freeing Athens from its tribute of youths. He ruled Athens not by force but by the people's will, gave it a single city from scattered villages, and made the people masters of the constitution, while they chose him alone to rule, so that he was loved rather than plotted against. After so great a man chose Helen, the princes of Greece contended for her hand and swore an oath to defend whoever won her. Alexander, son of Priam, called to judge the goddesses, chose marriage with Helen above every other gift.

κάλλιστον μὲν οὖν ἔχω περὶ Θησέως τοῦτ᾽ εἰπεῖν, ὅτι 23
finest indeed then I-have about Theseus this to-say that
κατὰ τὸν αὐτὸν χρόνον Ἡρακλεῖ γενόμενος ἐνάμιλλον
at the same time with-Heracles having-been rivaling
τὴν αὐτοῦ δόξαν πρὸς τὴν ἐκείνου κατέστησεν. οὐ γὰρ
the his glory with the his be-made not for
μόνον τοῖς ὅπλοις ἐκοσμήσαντο παραπλησίοις ἀλλὰ καὶ
only with-the arms they-adorned-themselves similar but also
τοῖς ἐπιτηδεύμασιν ἐχρήσαντο τοῖς αὐτοῖς, πρέποντα τῇ
the pursuits they-used the same fitting-things to-the
συγγενείᾳ ποιοῦντες. ἐξ ἀδελφῶν γὰρ γεγονότες, ὁ
kinship doing from brothers for having-been-born the-one
μὲν ἐκ Διός, ὁ δ᾽ ἐκ Ποσειδῶνος, ἀδελφὰς καὶ τὰς
indeed from Zeus the-other but from Poseidon kindred also the

ἐπιθυμίας ἔσχον. μόνοι γὰρ οὗτοι τῶν προγεγενημένων
desires they-had alone for these of-the-ones before
ὑπὲρ τοῦ βίου τοῦ τῶν ἀνθρώπων ἀθληταὶ κατέστησαν.
for the life the of-the men champions became
συνέβη δὲ τὸν μὲν ὀνομαστοτέρους καὶ μείζους,
it-happened but the-one indeed more-renowned and greater
24 τὸν δ' ὠφελιμωτέρους καὶ τοῖς Ἕλλησιν οἰκειοτέρους
the-other but more-useful and to-the Greeks more-intimate
ποιήσασθαι τοὺς κινδύνους. τῷ μὲν γὰρ Εὐρυσθεὺς
to-make the dangers to-the-one indeed for Eurystheus
προσέταττε τάς τε βοῦς τὰς ἐκ τῆς Ἐρυθείας ἀγαγεῖν καὶ
ordered the both cattle the from — Erytheia to-drive and
τὰ μῆλα τὰ τῶν Ἑσπερίδων ἐνεγκεῖν καὶ τὸν Κέρβερον
the apples the of-the Hesperides to-bring and — Cerberus
ἀναγαγεῖν καὶ τοιούτους ἄλλους πόνους, ἐξ ὧν ἤμελλεν
to-bring-up and such other labors from which he-was-going
οὐ τοὺς ἄλλους ὠφελήσειν ἀλλ' αὐτὸς κινδυνεύσειν·
not the others to-benefit but himself to-run-risks
25 ὁ δ' αὐτὸς αὐτοῦ κύριος ὢν τούτους προῃρεῖτο τῶν ἀγώνων,
he but himself of-himself master being these he-chose of-the contests
ἐξ ὧν ἤμελλεν ἢ τῶν Ἑλλήνων ἢ τῆς αὐτοῦ πατρίδος
from which he-was-going either of-the Greeks or of-the his fatherland
εὐεργέτης γενήσεσθαι. καὶ τόν τε ταῦρον τὸν ἀνεθέντα μὲν
benefactor to-become and the both bull the let-loose indeed
ὑπὸ Ποσειδῶνος, τὴν δὲ χώραν λυμαινόμενον, ὃν πάντες
by Poseidon the but land ravaging which all
οὐκ ἐτόλμων ὑπομένειν, μόνος χειρωσάμενος μεγάλου φόβου
not dared to-face alone having-subdued from-great fear
καὶ πολλῆς ἀπορίας τοὺς οἰκοῦντας τὴν πόλιν ἀπήλλαξεν·
and much perplexity the-ones inhabiting the city he-freed

καὶ μετὰ ταῦτα Λαπίθαις σύμμαχος γενόμενος, 26
and after these-things to-Lapiths ally having-become
στρατευσάμενος ἐπὶ Κενταύρους τοὺς διφυεῖς, οἳ καὶ
having-campaigned against Centaurs the double-natured who both
τάχει καὶ ῥώμῃ καὶ τόλμῃ διενεγκόντες τὰς μὲν ἐπόρθουν,
in-speed and in-strength and in-daring excelling the-ones indeed were-sacking
τὰς δ' ἤμελλον, ταῖς δ' ἠπείλουν τῶν πόλεων, τούτους
the-others but were-about-to the-others but were-threatening of-the cities these
μάχῃ νικήσας εὐθὺς μὲν αὐτῶν τὴν ὕβριν ἔπαυσεν,
in-battle having-conquered at-once indeed their the outrage he-stopped
οὐ πολλῷ δ' ὕστερον τὸ γένος ἐξ ἀνθρώπων ἠφάνισεν.
not much but later the race from men he-obliterated
περὶ δὲ τοὺς αὐτοὺς χρόνους τὸ τέρας τὸ τραφὲν 27
about and the same times the monster the-one reared
μὲν ἐν Κρήτῃ, γενόμενον δ' ἐκ Πασιφάης τῆς Ἡλίου
indeed in Crete born but from Pasiphae the of-Helios
θυγατρός, ᾧ κατὰ μαντείαν δασμὸν τῆς πόλεως δὶς
daughter to-which according-to oracle as-tribute the city twice
ἑπτὰ παῖδας ἀποστελλούσης, ἰδὼν αὐτοὺς ἀγομένους
seven children sending having-seen them being-led
καὶ πανδημεὶ προπεμπομένους ἐπὶ θάνατον ἄνομον
and by-the-whole-people escorted to death lawless
καὶ προῦπτον καὶ πενθουμένους ἔτι ζῶντας, οὕτως
and foreseen and mourned still living so
ἠγανάκτησεν, ὥσθ' ἡγήσατο κρεῖττον εἶναι τεθνάναι μᾶλλον
he-was-indignant that he-thought better to-be to-be-dead rather
ἢ ζῆν ἄρχων τῆς πόλεως τῆς οὕτως οἰκτρὸν τοῖς
than to-live ruling of-the city the so pitiful to-the
ἐχθροῖς φόρον ὑποτελεῖν ἠναγκασμένης.
enemies tribute to-pay compelled

28 σύμπλους δὲ γενόμενος, καὶ κρατήσας φύσεως ἐξ ἀνδρὸς
fellow-voyager and having-become and having-mastered a-nature from man
μὲν καὶ ταύρου μεμιγμένης, τὴν δ' ἰσχὺν ἐχούσης,
indeed and bull mixed the but strength having
οἵαν προσήκει τὴν ἐκ τοιούτων σωμάτων συγκειμένην,
such-as befits the from such bodies composed
τοὺς μὲν παῖδας διασώσας τοῖς γονεῦσιν ἀπέδωκε, τὴν
the indeed children having-saved to-the parents he-restored the
δὲ πόλιν οὕτως ἀνόμου καὶ δεινοῦ καὶ δυσαπαλλάκτου
but city so lawless and terrible and hard-to-be-rid-of
προστάγματος ἠλευθέρωσεν.
command he-freed

29 ἀπορῶ δ' ὅ τι χρήσωμαι τοῖς ἐπιλοίποις· ἐπιστὰς
I-am-at-a-loss and what ever I-should-deal-with the remaining-things having-stopped
γὰρ ἐπὶ τὰ Θησέως ἔργα καὶ λέγειν ἀρξάμενος περὶ
for at the of-Theseus deeds and to-speak having-begun about
αὐτῶν ὀκνῶ μὲν μεταξὺ παύσασθαι καὶ παραλιπεῖν τήν
them I-shrink indeed midway to-stop and to-omit the
τε Σκίρωνος καὶ Κερκύονος καὶ τῶν ἄλλων τῶν τοιούτων
both of-Sciron and of-Cercyon and of-the others the such
παρανομίαν, πρὸς οὓς ἀνταγωνιστὴς γενόμενος ἐκεῖνος
lawlessness against whom antagonist having-become he
πολλῶν καὶ μεγάλων συμφορῶν τοὺς Ἕλληνας ἀπήλλαξεν,
from-many and great misfortunes the Greeks freed
αἰσθάνομαι δ' ἐμαυτὸν ἔξω φερόμενον τῶν καιρῶν καὶ
I-perceive but myself outside being-carried of-the proper-limits and
δέδοικα, μή τισι δόξω περὶ τούτου μᾶλλον σπουδάζειν
I-fear lest to-some I-shall-seem about this-man more to-be-earnest
ἢ περὶ ἧς τὴν ἀρχὴν ὑπεθέμην.
than about whom the beginning I-proposed

ἐξ ἀμφοτέρων οὖν τούτων αἱροῦμαι τὰ μὲν πλεῖστα 30
from both then these I-choose the indeed most
παραλιπεῖν διὰ τοὺς δυσκόλως ἀκροωμένους, περὶ
to-omit because-of the-ones impatiently listening about
δὲ τῶν ἄλλων ὡς ἂν δύνωμαι συντομώτατα διελθεῖν,
but the others as — I-can most-concisely to-go-through
ἵνα τὰ μὲν ἐκείνοις, τὰ δ' ἐμαυτῷ χαρίσωμαι, καὶ μὴ
so-that the indeed to-those the but to-myself I-may-gratify and not
παντάπασιν ἡττηθῶ τῶν εἰθισμένων φθονεῖν καὶ τοῖς
altogether I-be-worsted by-the-ones accustomed to-envy and the
λεγομένοις ἅπασιν ἐπιτιμᾶν.
things-said all to-censure
τὴν μὲν οὖν ἀνδρίαν ἐν τούτοις ἐπεδείξατο τοῖς ἔργοις, 31
the indeed then courage in these he-displayed the deeds
ἐν οἷς αὐτὸς καθ' αὑτὸν ἐκινδύνευσε, τὴν δ' ἐπιστήμην,
in which himself by himself ran-risks the but knowledge
ἣν εἶχε πρὸς τὸν πόλεμον, ἐν ταῖς μάχαις, αἷς μεθ'
which he-had for the war in the battles which with
ὅλης τῆς πόλεως ἠγωνίσατο, τὴν δ' εὐσέβειαν τὴν
whole the city he-fought the and piety the
πρὸς τοὺς θεοὺς ἔν τε ταῖς Ἀδράστου καὶ ταῖς τῶν
toward the gods in both the of-Adrastus and the of-the
παίδων τῶν Ἡρακλέους ἱκετείαις, τοὺς μὲν γὰρ μάχῃ
children the of-Heracles supplications the-ones indeed for in-battle
νικήσας Πελοποννησίους διέσωσε, τῷ δὲ τοὺς ὑπὸ
having-conquered Peloponnesians he-saved to-the-other but the-ones under
τῇ Καδμείᾳ τελευτήσαντας βίᾳ Θηβαίων θάψαι παρέδωκε,
— Cadmea having-died by-force of-Thebans to-bury he-handed-over
τὴν δ' ἄλλην ἀρετὴν καὶ τὴν σωφροσύνην ἔν τε τοῖς
the but other virtue and the temperance in both the
προειρημένοις καὶ μάλιστ' ἐν οἷς τὴν πόλιν διῴκησεν.
said-before and most in what the city he-governed

32 ὁρῶν γὰρ τοὺς βίᾳ τῶν πολιτῶν ἄρχειν ζητοῦντας
seeing for the-ones by-force of-the citizens to-rule seeking
ἑτέροις δουλεύοντας καὶ τοὺς ἐπικίνδυνον τὸν βίον
to-others being-slaves and the-ones dangerous the life
τοῖς ἄλλοις καθιστάντας αὐτοὺς περιδεῶς ζῶντας, καὶ
for-the others making themselves fearfully living and
πολεμεῖν ἀναγκαζομένους μετὰ μὲν τῶν πολιτῶν πρὸς
to-war compelled with indeed the citizens against
τοὺς ἐπιστρατευομένους, μετὰ δ' ἄλλων τινῶν πρὸς τοὺς
the invaders with but others some against the
συμπολιτευομένους,
fellow-citizens
33 ἔτι δὲ συλῶντας μὲν τὰ τῶν θεῶν, ἀποκτείνοντας
further and plundering indeed the-things of-the gods killing
δὲ τοὺς βελτίστους τῶν πολιτῶν, ἀπιστοῦντας δὲ τοῖς
but the best of-the citizens distrusting and the
οἰκειοτάτοις, οὐδὲν δὲ ῥᾳθυμότερον ζῶντας τῶν ἐπὶ
nearest in-nothing and more-easily living than-the-ones for
θανάτῳ συνειλημμένων, ἀλλὰ τὰ μὲν ἔξω ζηλουμένους,
death arrested but the-things indeed outside envied
αὐτοὺς δὲ παρ' αὐτοῖς μᾶλλον τῶν ἄλλων λυπουμένους·
themselves but by themselves more than-the others pained
34 τί γάρ ἐστιν ἄλγιον ἢ ζῆν ἀεὶ δεδιότα, μή τις
what for is more-painful than to-live always fearing lest anyone
αὐτὸν τῶν παρεστώτων ἀποκτείνῃ, καὶ μηδὲν ἧττον
him of-the-ones standing-by should-kill and in-nothing less
φοβούμενον τοὺς φυλάττοντας ἢ τοὺς ἐπιβουλεύοντας;
fearing the-ones guarding than the-ones plotting
τούτων ἁπάντων καταφρονήσας καὶ νομίσας οὐκ ἄρχοντας
these all having-despised and having-thought not rulers
ἀλλὰ νοσήματα τῶν πόλεων εἶναι τοὺς τοιούτους, ἐπέδειξεν,
but diseases of-the cities to-be the such he-showed

ὅτι ῥᾴδιόν ἐστιν ἅμα τυραννεῖν καὶ μηδὲν χεῖρον
that easy it-is at-the-same-time to-be-tyrant and in-nothing worse
διακεῖσθαι τῶν ἐξ ἴσου πολιτευομένων.
to-be-disposed than-the-ones on equal-terms living-as-citizens
καὶ πρῶτον μὲν τὴν πόλιν σποράδην καὶ κατὰ κώμας 35
and first indeed the city scattered and in villages
οἰκοῦσαν εἰς ταὐτὸν συναγαγὼν τηλικαύτην ἐποίησεν ὥστ᾽
dwelling into the-same having-brought-together so-great he-made that
ἔτι καὶ νῦν ἀπ᾽ ἐκείνου τοῦ χρόνου μεγίστην τῶν Ἑλληνίδων
still also now from that the time greatest of-the Greek
εἶναι· μετὰ δὲ ταῦτα κοινὴν τὴν πατρίδα καταστήσας καὶ
to-be after and these-things common the fatherland having-made and
τὰς ψυχὰς τῶν συμπολιτευομένων ἐλευθερώσας ἐξ ἴσου
the souls of-the fellow-citizens having-freed on equal-terms
τὴν ἅμιλλαν αὐτοῖς περὶ τῆς ἀρετῆς ἐποίησε, πιστεύων μὲν
the rivalry for-them about the virtue he-made trusting indeed
ὁμοίως αὐτῶν προέξειν ἀσκούντων ὥσπερ ἀμελούντων,
alike them to-be-going-to-excel practicing as neglecting
εἰδὼς δὲ τὰς τιμὰς ἡδίους οὔσας τὰς παρὰ τῶν μέγα
knowing but the honors more-pleasant being the from the-ones great
φρονούντων ἢ τὰς παρὰ τῶν δουλευόντων.
thinking than the from the-ones being-slaves
τοσούτου δ᾽ ἐδέησεν ἀκόντων τι ποιεῖν τῶν πολιτῶν, 36
so-far and he-fell-short unwilling anything to-do the citizens
ὥσθ᾽ ὁ μὲν τὸν δῆμον καθίστη κύριον τῆς πολιτείας,
that he indeed the people made master of-the constitution
οἱ δὲ μόνον αὐτὸν ἄρχειν ἠξίουν, ἡγούμενοι πιστοτέραν
they but alone him to-rule thought-fit thinking more-trustworthy
καὶ κοινοτέραν εἶναι τὴν ἐκείνου μοναρχίαν τῆς αὐτῶν
and more-common to-be the his monarchy than-the their
δημοκρατίας. οὐ γὰρ ὥσπερ ἕτεροι τοὺς μὲν πόνους
democracy not for as others the indeed toils

ἄλλοις προσέταττε, τῶν δ' ἡδονῶν αὐτὸς μόνος ἀπέλαυεν,
to-others he-assigned of-the but pleasures himself alone enjoyed
ἀλλὰ τοὺς μὲν κινδύνους ἰδίους ἐποιεῖτο, τὰς δ' ὠφελείας
but the indeed dangers own he-made the but benefits
ἅπασιν εἰς τὸ κοινὸν ἀπεδίδου.
to-all into the common he-gave

37 καὶ γάρ τοι διετέλεσε τὸν βίον οὐκ ἐπιβουλευόμενος ἀλλ'
and for indeed he-continued the life not being-plotted-against but
ἀγαπώμενος, οὐδ' ἐπακτῷ δυνάμει τὴν ἀρχὴν διαφυλάττων
being-loved nor with-imported force the rule guarding
ἀλλὰ τῇ τῶν πολιτῶν εὐνοίᾳ δορυφορούμενος, τῇ μὲν
but by-the of-the citizens goodwill being-guarded by-the indeed
ἐξουσίᾳ τυραννῶν, ταῖς δ' εὐεργεσίαις δημαγωγῶν· οὕτω γὰρ
power ruling-as-tyrant by-the but benefactions leading-the-people so for
νομίμως καὶ καλῶς διῴκει τὴν πόλιν ὥστ' ἔτι καὶ νῦν ἴχνος
lawfully and finely he-governed the city that still also now a-trace
τῆς ἐκείνου πραότητος ἐν τοῖς ἤθεσιν ἡμῶν καταλελεῖφθαι.
of-the his gentleness in the characters our to-have-been-left

38 τὴν δὴ γεννηθεῖσαν μὲν ὑπὸ Διός, κρατήσασαν δὲ
the-one indeed begotten indeed by Zeus having-mastered but
τοιαύτης ἀρετῆς καὶ σωφροσύνης, πῶς οὐκ ἐπαινεῖν
such virtue and temperance how not to-praise
χρὴ καὶ τιμᾶν καὶ νομίζειν πολὺ τῶν πώποτε
it-is-necessary and to-honor and to-think much than-the-ones ever
γενομένων διενεγκεῖν; οὐ γὰρ δὴ μάρτυρά γε πιστότερον
having-been to-have-excelled not for indeed witness at-least more-trustworthy
οὐδὲ κριτὴν ἱκανώτερον ἕξομεν ἐπαγαγέσθαι περὶ τῶν
nor judge more-competent we-shall-have to-bring about the
Ἑλένῃ προσόντων ἀγαθῶν τῆς Θησέως διανοίας. ἵνα δὲ
to-Helen belonging goods than-the of-Theseus mind so-that and
μὴ δοκῶ δι' ἀπορίαν περὶ τὸν αὐτὸν τόπον διατρίβειν,
not I-may-seem through perplexity about the same topic to-spend-time

μηδ᾽ ἀνδρὸς ἑνὸς δόξῃ καταχρώμενος ἐπαινεῖν
nor of-a-man one with-the-reputation making-full-use to-praise
αὐτήν, βούλομαι καὶ περὶ τῶν ἐχομένων διελθεῖν.
her I-wish also about the-things following to-go-through
μετὰ γὰρ τὴν Θησέως εἰς Ἅιδου κατάβασιν ἐπανελθούσης 39
after for the of-Theseus into Hades' descent she-having-returned
αὖθις εἰς Λακεδαίμονα καὶ πρὸς τὸ μνηστεύεσθαι λαβούσης
again to Lacedaemon and for the to-be-wooed having-got
ἡλικίαν ἅπαντες οἱ τότε βασιλεύοντες καὶ δυναστεύοντες
age all the-ones then reigning and holding-power
τὴν αὐτὴν γνώμην ἔσχον περὶ αὐτῆς· ἐξὸν γὰρ αὐτοῖς
the same opinion had about her it-being-possible for to-them
λαμβάνειν ἐν ταῖς αὐτῶν πόλεσι γυναῖκας τὰς πρωτευούσας,
to-take in the their cities wives the foremost
ὑπεριδόντες τοὺς οἴκοι γάμους ἦλθον ἐκείνην μνηστεύσοντες.
having-disdained the at-home marriages they-came her going-to-woo
οὔπω δὲ κεκριμένου τοῦ μέλλοντος αὐτῇ συνοικήσειν 40
not-yet and having-been-decided the-one going her to-marry
ἀλλ᾽ ἔτι κοινῆς τῆς τύχης οὔσης οὕτω πρόδηλος ἦν
but still common the fortune being so evident she-was
ἅπασιν ἐσομένη περιμάχητος, ὥστε συνελθόντες πίστεις
to-all going-to-be fought-over that having-come-together pledges
ἔδοσαν ἀλλήλοις ἦ μὴν βοηθήσειν, εἴ τις ἀποστεροίη
they-gave to-one-another surely indeed to-be-going-to-help if anyone should-deprive
τὸν ἀξιωθέντα λαβεῖν αὐτήν, νομίζων ἕκαστος τὴν
the-one deemed-worthy to-take her thinking each the
ἐπικουρίαν ταύτην αὐτῷ παρασκευάζειν.
aid this for-himself to-prepare
τῆς μὲν οὖν ἰδίας ἐλπίδος πλὴν ἑνὸς ἀνδρὸς ἅπαντες 41
of-the indeed then private hope except one man all
ἐψεύσθησαν, τῆς δὲ κοινῆς δόξης ἧς ἔσχον περὶ ἐκείνης
were-deceived of-the but common opinion which they-had about her

οὐδεὶς αὐτῶν διήμαρτεν. οὐ πολλοῦ γὰρ χρόνου διελθόντος,
no-one of-them missed not much for time having-passed
γενομένης ἐν θεοῖς περὶ κάλλους ἔριδος, ἧς Ἀλέξανδρος
having-arisen among gods about beauty a-dispute of-which Alexander
ὁ Πριάμου κατέστη κριτής, καὶ διδούσης Ἥρας μὲν
the son-of-Priam became judge and offering Hera indeed
ἁπάσης αὐτῷ τῆς Ἀσίας βασιλεύειν, Ἀθηνᾶς δὲ κρατεῖν
of-all for-him — Asia to-reign Athena but to-prevail
ἐν τοῖς πολέμοις,
in the wars
42 Ἀφροδίτης δὲ τὸν γάμον τὸν Ἑλένης, τῶν μὲν σωμάτων
Aphrodite but the marriage the of-Helen of-the indeed bodies
οὐ δυνηθεὶς λαβεῖν διάγνωσιν ἀλλ' ἡττηθεὶς τῆς
not having-been-able to-get discernment but having-been-overcome by-the
τῶν θεῶν ὄψεως, τῶν δὲ δωρεῶν ἀναγκασθεὶς γενέσθαι
of-the gods sight of-the but gifts having-been-compelled to-become
κριτής, εἵλετο τὴν οἰκειότητα τὴν Ἑλένης ἀντὶ τῶν
judge he-chose the alliance the of-Helen instead-of the
ἄλλων ἁπάντων, οὐ πρὸς τὰς ἡδονὰς ἀποβλέψας, — καίτοι
others all not to the pleasures having-looked and-yet
καὶ τοῦτο τοῖς εὖ φρονοῦσι πολλῶν αἱρετώτερόν ἐστιν,
also this for-the-ones well thinking than-many more-choiceworthy is
43 ἀλλ' ὅμως οὐκ ἐπὶ τοῦθ' ὥρμησεν, ἀλλ' ἐπεθύμησε
but nevertheless not for this he-set-out but he-desired
Διὸς γενέσθαι κηδεστής, νομίζων πολὺ μείζω καὶ καλλίω
of-Zeus to-become son-in-law thinking much greater and finer
ταύτην εἶναι τὴν τιμὴν ἢ τὴν τῆς Ἀσίας βασιλείαν,
this to-be the honor than the — of-Asia kingship
καὶ μεγάλας μὲν ἀρχὰς καὶ δυναστείας καὶ φαύλοις
and great indeed rules and dominions also to-mean
ἀνθρώποις ποτὲ παραγίγνεσθαι, τοιαύτης δὲ γυναικὸς
men sometimes to-come of-such but woman

οὐδένα τῶν ἐπιγιγνομένων ἀξιωθήσεσθαι, πρὸς δὲ
no-one of-the-ones after to-be-going-to-be-deemed-worthy besides and
τούτοις οὐδὲν ἂν κτῆμα κάλλιον καταλιπεῖν τοῖς παισὶν
these no — possession finer to-leave to-the children
ἢ παρασκευάσας αὐτοῖς, ὅπως μὴ μόνον πρὸς πατρὸς
than having-provided them that not only on father's-side
ἀλλὰ καὶ πρὸς μητρὸς ἀπὸ Διὸς ἔσονται γεγονότες.
but also on mother's-side from Zeus they-will-be descended

III · THE WAR AND HER POWER

Alexander's choice was wise, since kinship with Zeus was a prize greater than any kingdom. When Alexander took her, the Greeks went to war as if Greece itself had been robbed, and the Trojans let their cities be uprooted and their land ravaged rather than give her up; the gods themselves fought and allowed their own sons to die for her. Such was the power of her beauty, which is the most august and honored of things, and men give their lives for it. Helen was made immortal, she brought her brothers to the gods, and Stesichorus, who blasphemed her, was blinded until he wrote his palinode, while Homer, some say, wrote his poem at her bidding. At Therapne the Spartans still sacrifice to her and to Menelaus as gods. Through her the Greeks first united against the barbarians and set up a trophy of Europe over Asia, so that, where barbarians had once ruled Greek cities, after that war the Greeks took great cities and much land from the barbarians. Isocrates leaves much unsaid for others to tell.

ἠπίστατο γὰρ τὰς μὲν ἄλλας εὐτυχίας ταχέως 44
he-knew for the indeed other good-fortunes quickly
μεταπιπτούσας, τὴν δ' εὐγένειαν ἀεὶ τοῖς αὐτοῖς
changing the but nobility always with-the same
παραμένουσαν, ὥστε ταύτην μὲν τὴν αἵρεσιν ὑπὲρ
remaining so-that this indeed the choice for

ἅπαντος τοῦ γένους ἔσεσθαι, τὰς δ' ἑτέρας δωρεὰς
all the race to-be-going-to-be the but other gifts
ὑπὲρ τοῦ χρόνου μόνον τοῦ καθ' αὐτόν.
for the time only the in his-own-day
45 τῶν μὲν οὖν εὖ φρονούντων οὐδεὶς ἂν τοῖς λογισμοῖς
of-the indeed then well thinking no-one — the reckonings
τούτοις ἐπιτιμήσειεν, τῶν δὲ μηδὲν πρὸ τοῦ πράγματος
these would-censure of-the-ones but nothing before the matter
ἐνθυμουμένων ἀλλὰ τὸ συμβαῖνον μόνον σκοπουμένων
considering but the outcome only examining
ἤδη τινὲς ἐλοιδόρησαν αὐτόν· ὧν τὴν ἄνοιαν ἐξ ὧν
already some have-reviled him whose the folly from what
ἐβλασφήμησαν περὶ ἐκείνου ῥᾴδιον ἅπασι καταμαθεῖν.
they-slandered about him easy for-all to-perceive
46 πῶς γὰρ οὐ καταγέλαστον πεπόνθασιν, εἰ τὴν αὐτῶν
how for not ridiculous have-they-experienced if the their
φύσιν ἱκανωτέραν εἶναι νομίζουσι τῆς ὑπὸ τῶν θεῶν
nature more-competent to-be they-think than-the-one by the gods
προκριθείσης; οὐ γὰρ δή που περὶ ὧν εἰς τοσαύτην
preferred not for indeed surely about what into such
ἔριν κατέστησαν τὸν τυχόντα διαγνῶναι κύριον ἐποίησαν,
strife they-came the chance-one to-decide master they-made
ἀλλὰ δῆλον, ὅτι τοσαύτην ἔσχον σπουδὴν ἐκλέξασθαι
but clear that so-much they-had zeal to-choose
κριτὴν τὸν βέλτιστον, ὅσηνπερ περὶ αὐτοῦ τοῦ πράγματος
judge the best as-much-very about itself the matter
ἐπιμέλειαν ἐποιήσαντο.
care they-made
47 χρὴ δὲ σκοπεῖν, ὁποῖός τις ἦν, καὶ δοκιμάζειν
it-is-necessary and to-consider of-what-sort some he-was and to-test
αὐτὸν οὐκ ἐκ τῆς ὀργῆς τῆς τῶν ἀποτυχουσῶν, ἀλλ'
him not from the anger the of-the-ones having-failed but

ἐξ ὧν ἅπασαι βουλευσάμεναι προείλοντο τὴν ἐκείνου
from what all having-deliberated chose the his
διάνοιαν. κακῶς μὲν γὰρ παθεῖν ὑπὸ τῶν κρειττόνων
mind badly indeed for to-suffer by the stronger
οὐδὲν κωλύει καὶ τοὺς μηδὲν ἐξημαρτηκότας· τοιαύτης
nothing prevents also the-ones nothing having-erred such
δὲ τιμῆς τυχεῖν ὥστε θνητὸν ὄντα θεῶν γενέσθαι κριτὴν,
but honor to-obtain that mortal being of-gods to-become judge
οὐχ οἷόν τε μὴ οὐ τὸν πολὺ τῇ γνώμῃ διαφέροντα.
not possible — not not the-one much in-the mind excelling
θαυμάζω δ' εἴ τις οἴεται κακῶς βεβουλεῦσθαι τὸν μετὰ 48
I-wonder and if anyone thinks badly to-have-deliberated the-one with
ταύτης ζῆν ἑλόμενον, ἧς ἕνεκα πολλοὶ τῶν ἡμιθέων
her to-live having-chosen whom for-the-sake-of many of-the demigods
ἀποθνήσκειν ἠθέλησαν. πῶς δ' οὐκ ἂν ἦν ἀνόητος,
to-die were-willing how but not — would-he-have-been foolish
εἰ τοὺς θεοὺς εἰδὼς περὶ κάλλους φιλονικοῦντας αὐτὸς
if the gods knowing about beauty contending himself
κάλλους κατεφρόνησε, καὶ μὴ ταύτην ἐνόμισε μεγίστην εἶναι
beauty had-despised and not this had-thought greatest to-be
τῶν δωρεῶν, περὶ ἧς κἀκείνας ἑώρα μάλιστα σπουδαζούσας;
of-the gifts about which also-those he-saw most being-earnest
τίς δ' ἂν τὸν γάμον τὸν Ἑλένης ὑπερεῖδεν, ἧς 49
who but — the marriage the of-Helen would-have-disdained whom
ἁρπασθείσης οἱ μὲν Ἕλληνες οὕτως ἠγανάκτησαν ὥσπερ
having-been-carried-off the indeed Greeks so were-indignant as
ὅλης τῆς Ἑλλάδος πεπορθημένης, οἱ δὲ βάρβαροι τοσοῦτον
whole — Greece having-been-sacked the but barbarians so-much
ἐφρόνησαν, ὅσον περ ἂν εἰ πάντων ἡμῶν ἐκράτησαν. δῆλον
were-proud as-much very — if all us they-had-conquered clear
δ' ὡς ἑκάτεροι διετέθησαν· πολλῶν γὰρ αὐτοῖς πρότερον
and how each were-disposed many for to-them before

ἐγκλημάτων γενομένων περὶ μὲν τῶν ἄλλων ἡσυχίαν ἦγον,
grievances having-arisen about indeed the others quiet they-kept
ὑπὲρ δὲ ταύτης τηλικοῦτον συνεστήσαντο πόλεμον οὐ μόνον
for but her such they-organized war not only
τῷ μεγέθει τῆς ὀργῆς ἀλλὰ καὶ τῷ μήκει τοῦ χρόνου καὶ
in-the greatness of-the anger but also in-the length of-the time and
τῷ πλήθει τῶν παρασκευῶν, ὅσος οὐδεὶς πώποτε γέγονεν.
in-the number of-the preparations as no-one ever has-been
50 ἐξὸν δὲ τοῖς μὲν ἀποδοῦσιν Ἑλένην ἀπηλλάχθαι
it-being-possible and for-the-ones indeed having-given-back Helen to-be-rid
τῶν παρόντων κακῶν, τοῖς δ' ἀμελήσασιν ἐκείνης ἀδεῶς
of-the present evils for-the-others but having-neglected her fearlessly
οἰκεῖν τὸν ἐπίλοιπον χρόνον, οὐδέτεροι ταῦτ' ἠθέλησαν· ἀλλ'
to-dwell the remaining time neither these-things were-willing but
οἱ μὲν περιεώρων καὶ πόλεις ἀναστάτους γιγνομένας καὶ
the-ones indeed overlooked both cities uprooted becoming and
τὴν χώραν πορθουμένην, ὥστε μὴ προέσθαι τοῖς Ἕλλησιν
the land being-ravaged so-as not to-give-up to-the Greeks
αὐτήν, οἱ δ' ᾑροῦντο μένοντες ἐπὶ τῆς ἀλλοτρίας
her the-others but chose remaining in the foreign-land
καταγηράσκειν καὶ μηδέποτε τοὺς αὐτῶν ἰδεῖν μᾶλλον ἢ
to-grow-old and never the their-own to-see rather than
ἐκείνην καταλιπόντες εἰς τὰς αὐτῶν πατρίδας ἀπελθεῖν.
her having-abandoned to the their fatherlands to-go-away
51 καὶ ταῦτ' ἐποίουν οὐχ ὑπὲρ Ἀλεξάνδρου καὶ Μενελάου
and these-things they-were-doing not for Alexander and Menelaus
φιλονικοῦντες, ἀλλ' οἱ μὲν ὑπὲρ τῆς Ἀσίας, οἱ δ' ὑπὲρ
contending but the-ones indeed for — Asia the-ones but for
τῆς Εὐρώπης, νομίζοντες, ἐν ὁποτέρᾳ τὸ σῶμα τοὐκείνης
— Europe thinking in whichever the body hers
κατοικήσειε, ταύτην εὐδαιμονεστέραν τὴν χώραν ἔσεσθαι.
should-dwell this more-prosperous the land to-be-going-to-be

τοσοῦτος δ᾽ ἔρως ἐνέπεσε τῶν πόνων καὶ τῆς στρατείας 52
so-great and a-passion fell-upon for-the toils and the expedition
ἐκείνης οὐ μόνον τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροις ἀλλὰ
that not only the Greeks and the barbarians but
καὶ τοῖς θεοῖς, ὥστ᾽ οὐδὲ τοὺς ἐξ αὐτῶν γεγονότας
also the gods that not-even the-ones from them born
ἀπέτρεψαν τῶν ἀγώνων τῶν περὶ Τροίαν, ἀλλὰ Ζεὺς
they-turned-away from-the contests the about Troy but Zeus
μὲν προειδὼς τὴν Σαρπηδόνος εἱμαρμένην, Ἠὼς δὲ
indeed foreknowing the of-Sarpedon fate Eos but
τὴν Μέμνονος, Ποσειδῶν δὲ τὴν Κύκνου, Θέτις δὲ τὴν
the of-Memnon Poseidon but the of-Cycnus Thetis but the
Ἀχιλλέως, ὅμως αὐτοὺς συνεξώρμησαν καὶ συνεξέπεμψαν,
of-Achilles nevertheless them they-urged-on and sent-forth
ἡγούμενοι κάλλιον αὐτοῖς εἶναι τεθνάναι μαχομένοις περὶ 53
thinking finer for-them to-be to-be-dead fighting for
τῆς Διὸς θυγατρὸς μᾶλλον ἢ ζῆν ἀπολειφθεῖσι τῶν
the of-Zeus daughter rather than to-live having-been-left-out from-the
περὶ ἐκείνης κινδύνων. καὶ τί δεῖ θαυμάζειν, ἃ
about her dangers and why is-it-necessary to-wonder-at what
περὶ τῶν παίδων διενοήθησαν; αὐτοὶ γὰρ πολὺ μείζω καὶ
about the children they-intended themselves for much greater and
δεινοτέραν ἐποιήσαντο παράταξιν τῆς πρὸς Γίγαντας
more-terrible made battle than-the-one against Giants
αὐτοῖς γενομένης· πρὸς μὲν γὰρ ἐκείνους μετ᾽ ἀλλήλων
to-them having-been against indeed for those with one-another
ἐμαχέσαντο, περὶ δὲ ταύτης πρὸς σφᾶς αὐτοὺς ἐπολέμησαν.
they-fought about but her against them- -selves they-warred
εὐλόγως δὲ κἀκεῖνοι ταῦτ᾽ ἔγνωσαν, κἀγὼ τηλικαύταις 54
reasonably and those-too these-things judged and-I such
ὑπερβολαῖς ἔχω χρήσασθαι περὶ αὐτῆς· κάλλους γὰρ
exaggerations can use about her of-beauty for

πλεῖστον μέρος μετέσχεν, ὃ σεμνότατον καὶ τιμιώτατον
most part she-shared which most-august and most-honored
καὶ θειότατον τῶν ὄντων ἐστίν. ῥᾴδιον δὲ γνῶναι
and most-divine of-the things-that-are is easy and to-know
τὴν δύναμιν αὐτοῦ· τῶν μὲν γὰρ ἀνδρίας ἢ σοφίας ἢ
the power of-it of-the indeed for courage or wisdom or
δικαιοσύνης μὴ μετεχόντων πολλὰ φανήσεται τιμώμενα
justice not sharing many-things will-appear honored
μᾶλλον ἢ τούτων ἕκαστον, τῶν δὲ κάλλους ἀπεστερημένων
more than of-these each of-the but beauty deprived
οὐδὲν εὑρήσομεν ἀγαπώμενον ἀλλὰ πάντα καταφρονούμενα,
nothing we-shall-find loved but all despised
πλὴν ὅσα ταύτης τῆς ἰδέας κεκοινώνηκε, καὶ τὴν
except as-many-as of-this the form have-shared and the
ἀρετὴν διὰ τοῦτο μάλιστ᾽ εὐδοκιμοῦσαν, ὅτι κάλλιστον
virtue because-of this most well-reputed that finest
τῶν ἐπιτηδευμάτων ἐστίν.
of-the pursuits it-is
55 γνοίη δ᾽ ἄν τις κἀκεῖθεν, ὅσον διαφέρει τῶν ὄντων,
could-know and — anyone from-there-too how-much it-excels of-the things-that-are
ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον αὐτῶν. τῶν μὲν
from what ourselves we-are-disposed toward each of-them of-the indeed
γὰρ ἄλλων, ὧν ἂν ἐν χρείᾳ γενώμεθα, τυχεῖν μόνον
for other-things of-which — in need we-come to-obtain only
βουλόμεθα, περαιτέρω δὲ περὶ αὐτῶν οὐδὲν τῇ ψυχῇ
we-wish further but about them nothing in-the soul
προσπεπόνθαμεν· τῶν δὲ καλῶν ἔρως ἡμῖν ἐγγίγνεται,
we-have-felt-besides for-the but fine passion in-us arises
τοσούτῳ μείζω τοῦ βούλεσθαι ῥώμην ἔχων, ὅσῳ περ
by-so-much greater than-the to-wish strength having by-as-much very
καὶ τὸ πρᾶγμα κρεῖττόν ἐστιν.
also the thing more-excellent is

καὶ τοῖς μὲν κατὰ σύνεσιν ἢ κατ᾽ ἄλλο τι 56
and the-ones indeed in understanding or in other something
προέχουσι φθονοῦμεν, ἢν μὴ τῷ ποιεῖν ἡμᾶς εὖ καθ᾽
excelling we-envy if not by-the to-do us good by
ἑκάστην τὴν ἡμέραν προσαγάγωνται καὶ στέργειν σφᾶς
each the day they-win-over and to-love them-
αὐτοὺς ἀναγκάσωσι· τοῖς δὲ καλοῖς εὐθὺς ἰδόντες εὖνοι
-selves they-compel the but beautiful at-once having-seen well-disposed
γιγνόμεθα, καὶ μόνους αὐτοὺς ὥσπερ τοὺς θεοὺς οὐκ
we-become and alone them as the gods not
ἀπαγορεύομεν θεραπεύοντες,
we-tire-of serving
ἀλλ᾽ ἥδιον δουλεύομεν τοῖς τοιούτοις ἢ τῶν 57
but more-gladly we-serve the such than the
ἄλλων ἄρχομεν, πλείω χάριν ἔχοντες τοῖς πολλὰ
others we-rule more gratitude having to-the-ones many-things
προστάττουσιν ἢ τοῖς μηδὲν ἐπαγγέλλουσιν. καὶ τοὺς
commanding than to-the-ones nothing demanding and the-ones
μὲν ὑπ᾽ ἄλλῃ τινὶ δυνάμει γιγνομένους λοιδοροῦμεν καὶ
indeed under other some power coming we-revile and
κόλακας ἀποκαλοῦμεν, τοὺς δὲ τῷ κάλλει λατρεύοντας
flatterers we-call the-ones but to-the beauty serving
φιλοκάλους καὶ φιλοπόνους εἶναι νομίζομεν.
lovers-of-beauty and lovers-of-toil to-be we-think
τοσαύτῃ δ᾽ εὐσεβείᾳ καὶ προνοίᾳ χρώμεθα περὶ τὴν ἰδέαν 58
with-such and piety and forethought we-deal about the form
τὴν τοιαύτην, ὥστε καὶ τῶν ἐχόντων τὸ κάλλος τοὺς
the such that also of-the-ones having the beauty the-ones
μὲν μισθαρνήσαντας καὶ κακῶς βουλευσαμένους περὶ
indeed having-hired-themselves-out and badly having-deliberated about
τῆς αὐτῶν ἡλικίας μᾶλλον ἀτιμάζομεν ἢ τοὺς εἰς
the their youth more we-dishonor than the-ones against

τὰ τῶν ἄλλων σώματ᾽ ἐξαμαρτόντας· ὅσοι δ᾽ ἂν τὴν
the of-the others bodies having-erred as-many-as but — the
αὐτῶν ὥραν διαφυλάξωσιν ἄβατον τοῖς πονηροῖς ὥσπερ
their bloom they-guard inaccessible to-the wicked as
ἱερὸν ποιήσαντες, τούτους εἰς τὸν ἐπίλοιπον χρόνον
a-sanctuary having-made these for the remaining time
ὁμοίως τιμῶμεν ὥσπερ τοὺς ὅλην τὴν πόλιν ἀγαθόν
alike we-honor as the-ones whole the city good
τι ποιήσαντας.
something having-done

59 καὶ τί δεῖ τὰς ἀνθρωπίνας δόξας λέγοντα διατρίβειν;
and why is-it-necessary the human opinions saying to-spend-time
ἀλλὰ Ζεὺς ὁ κρατῶν πάντων ἐν μὲν τοῖς ἄλλοις
but Zeus the-one ruling all in indeed the others
τὴν αὐτοῦ δύναμιν ἐνδείκνυται, πρὸς δὲ τὸ κάλλος
the his power displays toward but the beauty
ταπεινὸς γιγνόμενος ἀξιοῖ πλησιάζειν. Ἀμφιτρύωνι μὲν
humble becoming thinks-fit to-approach to-Amphitryon indeed
γὰρ εἰκασθεὶς ὡς Ἀλκμήνην ἦλθε, χρυσὸς δὲ ῥυεὶς
for having-been-likened to Alcmene he-came gold and having-flowed
Δανάῃ συνεγένετο, κύκνος δὲ γενόμενος εἰς τοὺς Νεμέσεως
with-Danae he-lay swan and having-become into the of-Nemesis
κόλπους κατέφυγε, τούτῳ δὲ πάλιν ὁμοιωθεὶς Λήδαν
bosom he-fled to-this and again having-been-made-like Leda
ἐνύμφευσεν· ἀεὶ δὲ μετὰ τέχνης ἀλλ᾽ οὐ μετὰ βίας
he-wed always but with craft but not with force
θηρώμενος φαίνεται τὴν φύσιν τὴν τοιαύτην.
hunting he-appears the nature the such

60 τοσούτῳ δὲ μᾶλλον προτετίμηται τὸ κάλλος παρ᾽ ἐκείνοις
so-much and more has-been-honored the beauty among them
ἢ παρ᾽ ἡμῖν, ὥστε καὶ ταῖς γυναιξὶ ταῖς αὐτῶν ὑπὸ
than among us that also to-the wives the their by

τούτου κρατουμέναις συγγνώμην ἔχουσι, καὶ πολλὰς
this overcome pardon they-have and many
ἄν τις ἐπιδείξειε τῶν ἀθανάτων, αἳ θνητοῦ κάλλους
— anyone could-show of-the immortals who by-mortal beauty
ἡττήθησαν, ὧν οὐδεμία λαθεῖν τὸ γεγενημένον ὡς
were-overcome of-whom none to-hide the-thing having-happened as
αἰσχύνην ἔχον ἐζήτησεν, ἀλλ᾽ ὡς καλῶν ὄντων τῶν
shame having sought but as fine being of-the-things
πεπραγμένων ὑμνεῖσθαι μᾶλλον ἢ σιωπᾶσθαι περὶ αὐτῶν
done to-be-hymned rather than to-be-kept-silent about them
ἠβουλήθησαν. μέγιστον δὲ τῶν εἰρημένων· πλείους γὰρ
they-wished greatest and of-the-things said more for
ἂν εὕροιμεν διὰ τὸ κάλλος ἀθανάτους γεγενημένους
— we-would-find because-of the beauty immortal having-become
ἢ διὰ τὰς ἄλλας ἀρετὰς ἁπάσας.
than because-of the other virtues all
ὧν Ἑλένη τοσούτῳ πλέον ἔσχεν, ὅσῳ περ καὶ τὴν 61
of-which Helen by-so-much more had by-as-much very also the
ὄψιν αὐτῶν διήνεγκεν. οὐ γὰρ μόνον ἀθανασίας ἔτυχεν,
appearance than-them she-excelled not for only immortality she-obtained
ἀλλὰ καὶ τὴν δύναμιν ἰσόθεον λαβοῦσα πρῶτον μὲν
but also the power godlike having-got first indeed
τοὺς ἀδελφοὺς ἤδη κατεχομένους ὑπὸ τῆς πεπρωμένης
the brothers already held by the fate
εἰς θεοὺς ἀνήγαγε, βουλομένη δὲ πιστὴν ποιῆσαι τὴν
into gods she-raised wishing and credible to-make the
μεταβολὴν οὕτως αὐτοῖς τὰς τιμὰς ἐναργεῖς ἔδωκεν ὥσθ᾽
change so to-them the honors manifest she-gave that
ὁρωμένους ὑπὸ τῶν ἐν τῇ θαλάττῃ κινδυνευόντων σώζειν,
seen by the-ones in the sea being-in-danger to-save
οἵτινες ἂν αὐτοὺς εὐσεβῶς κατακαλέσωνται.
whoever — them piously call-upon

62 μετὰ δὲ ταῦτα τοσαύτην Μενελάῳ χάριν ἀπέδωκεν
after and these-things such to-Menelaus gratitude she-repaid
ὑπὲρ τῶν πόνων καὶ τῶν κινδύνων, οὓς δι᾽ ἐκείνην
for the toils and the dangers which because-of her
ὑπέμεινεν, ὥστε τοῦ γένους ἅπαντος τοῦ Πελοπιδῶν
he-endured that of-the race all of-the Pelopidae
διαφθαρέντος καὶ κακοῖς ἀνηκέστοις περιπεσόντος οὐ
having-been-destroyed and in-evils incurable having-fallen not
μόνον αὐτὸν τῶν συμφορῶν τούτων ἀπήλλαξεν ἀλλὰ καὶ
only him from-the misfortunes these she-freed but also
θεὸν ἀντὶ θνητοῦ ποιήσασα σύνοικον αὐτῇ καὶ πάρεδρον
god instead-of mortal having-made consort to-her and assessor
εἰς ἅπαντα τὸν αἰῶνα κατεστήσατο.
for all the age she-established

63 καὶ τούτοις ἔχω τὴν πόλιν τὴν Σπαρτιατῶν τὴν μάλιστα
and to-these I-can the city the of-Spartiates the-one most
τὰ παλαιὰ διασώζουσαν ἔργῳ παρασχέσθαι μαρτυροῦσαν·
the ancient-things preserving in-deed to-furnish bearing-witness
ἔτι γὰρ καὶ νῦν ἐν Θεράπναις τῆς Λακωνικῆς θυσίας
still for even now in Therapnae of-the Laconia sacrifices
αὐτοῖς ἁγίας καὶ πατρίας ἀποτελοῦσιν οὐχ ὡς ἥρωσιν
to-them holy and ancestral they-perform not as to-heroes
ἀλλ᾽ ὡς θεοῖς ἀμφοτέροις οὖσιν.
but as to-gods both being

64 ἐνεδείξατο δὲ καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν αὑτῆς
she-displayed and also to-Stesichorus the poet the her-own
δύναμιν· ὅτε μὲν γὰρ ἀρχόμενος τῆς ᾠδῆς ἐβλασφήμησέ
power when indeed for beginning of-the ode he-blasphemed
τι περὶ αὐτῆς, ἀνέστη τῶν ὀφθαλμῶν ἐστερημένος,
something about her he-stood-up of-the eyes deprived
ἐπειδὴ δὲ γνοὺς τὴν αἰτίαν τῆς συμφορᾶς τὴν
when but having-recognized the cause of-the misfortune the

καλουμένην παλινῳδίαν ἐποίησε, πάλιν αὐτὸν εἰς τὴν
so-called palinode he-made again him to the
αὐτὴν φύσιν κατέστησεν.
same nature she-restored
λέγουσι δέ τινες καὶ τῶν Ὁμηριδῶν, ὡς ἐπιστᾶσα 65
say and some also of-the Homeridae that having-appeared
τῆς νυκτὸς Ὁμήρῳ προσέταξε ποιεῖν περὶ τῶν
by-the night to-Homer she-commanded to-compose about the-ones
στρατευσαμένων ἐπὶ Τροίαν, βουλομένη τὸν ἐκείνων
having-campaigned against Troy wishing the their
θάνατον ζηλωτότερον ἢ τὸν βίον τὸν τῶν ἄλλων
death more-enviable than the life the of-the others
καταστῆσαι· καὶ μέρος μέν τι καὶ διὰ τὴν Ὁμήρου
to-make and part indeed some also through the of-Homer
τέχνην, μάλιστα δὲ διὰ ταύτην οὕτως ἐπαφρόδιτον καὶ
art most but through her so charming and
παρὰ πᾶσιν ὀνομαστὴν αὐτοῦ γενέσθαι τὴν ποίησιν.
among all renowned his to-have-become the poetry
ὡς οὖν καὶ δίκην λαβεῖν καὶ χάριν ἀποδοῦναι δυναμένην, 66
as then both penalty to-exact and gratitude to-repay able
τοὺς μὲν τοῖς χρήμασι προέχοντας ἀναθήμασι καὶ θυσίαις
the-ones indeed in-the wealth excelling with-offerings and sacrifices
καὶ ταῖς ἄλλαις προσόδοις ἱλάσκεσθαι καὶ τιμᾶν αὐτὴν
and the other approaches to-propitiate and to-honor her
χρή, τοὺς δὲ φιλοσόφους πειρᾶσθαί τι λέγειν
it-is-necessary the-ones but philosophers to-try something to-say
περὶ αὐτῆς ἄξιον τῶν ὑπαρχόντων ἐκείνῃ· τοῖς γὰρ
about her worthy of-the-things belonging to-her to-the for
πεπαιδευμένοις πρέπει τοιαύτας ποιεῖσθαι τὰς ἀπαρχάς.
educated it-befits such to-make the first-fruits

67 πολὺ δὲ πλείω τὰ παραλελειμμένα τῶν εἰρημένων
much and more the-things omitted than-the-things said
ἐστίν. χωρὶς γὰρ τεχνῶν καὶ φιλοσοφιῶν καὶ τῶν ἄλλων
are apart for from-arts and philosophies and the other
ὠφελειῶν, ἃς ἔχοι τις ἂν εἰς ἐκείνην καὶ τὸν πόλεμον τὸν
benefits which could anyone — to her and the war the
Τρωϊκὸν ἀνενεγκεῖν, δικαίως ἂν καὶ τοῦ μὴ δουλεύειν ἡμᾶς
Trojan to-refer justly — also of-the not to-be-slaves us
τοῖς βαρβάροις Ἑλένην αἰτίαν εἶναι νομίζοιμεν. εὑρήσομεν
to-the barbarians Helen cause to-be we-might-think we-shall-find
γὰρ τοὺς Ἕλληνας δι' αὐτὴν ὁμονοήσαντας καὶ
for the Greeks because-of her having-become-of-one-mind and
κοινὴν στρατείαν ἐπὶ τοὺς βαρβάρους ποιησαμένους, καὶ
common expedition against the barbarians having-made and
τότε πρῶτον τὴν Εὐρώπην τῆς Ἀσίας τρόπαιον στήσασαν·
then first — Europe — over-Asia trophy having-set-up
68 ἐξ ὧν τοσαύτης μεταβολῆς ἐτύχομεν, ὥστε τὸν μὲν
from which so-great change we-obtained that the indeed
ἐπέκεινα χρόνον οἱ δυστυχοῦντες ἐν τοῖς βαρβάροις
former time the-ones unfortunate among the barbarians
τῶν Ἑλληνίδων πόλεων ἄρχειν ἠξίουν, καὶ Δαναὸς μὲν
of-the Greek cities to-rule thought-fit and Danaus indeed
ἐξ Αἰγύπτου φυγὼν Ἄργος κατέσχε, Κάδμος δὲ Σιδώνιος
from Egypt having-fled Argos occupied Cadmus and Sidonian
Θηβῶν ἐβασίλευσε, Κᾶρες δὲ τὰς νήσους κατῴκουν,
of-Thebes was-king Carians and the islands inhabited
Πελοποννήσου δὲ συμπάσης ὁ Ταντάλου Πέλοψ ἐκράτησεν,
of-Peloponnese and all the of-Tantalus Pelops mastered
μετὰ δ' ἐκεῖνον τὸν πόλεμον τοσαύτην ἐπίδοσιν τὸ γένος
after and that the war such advance the race

ἡμῶν ἔλαβεν ὥστε καὶ πόλεις μεγάλας καὶ χώραν πολλὴν
our got that both cities great and land much
ἀφελέσθαι τῶν βαρβάρων.
to-take-away from-the barbarians
ἢν οὖν τινὲς βούλωνται ταῦτα διεργάζεσθαι καὶ μηκύνειν, 69
if then some wish these-things to-elaborate and to-lengthen
οὐκ ἀπορήσουσιν ἀφορμῆς, ὅθεν Ἑλένην ἔξω τῶν
not they-will-be-at-a-loss of-starting-point whence Helen beyond the
εἰρημένων ἔξουσιν ἐπαινεῖν, ἀλλὰ πολλοῖς καὶ καινοῖς
things-said they-will-be-able to-praise but many and new
λόγοις ἐντεύξονται περὶ αὐτῆς.
arguments they-will-come-upon about her

ISOCRATES

ΒΟΥΣΙΡΙΣ

Busiris

I · BUSIRIS' LAND AND LAWS

Isocrates writes to Polycrates, who has undeservedly fallen on hard times and been forced to make a living by teaching, to point out the faults in his Defense of Busiris and his Accusation of Socrates. Polycrates meant to praise Busiris but charged him with sacrificing strangers and even eating them, and in accusing Socrates he made Alcibiades his pupil, which praises Socrates. Isocrates will show how the subject should be treated. Busiris was the son of Poseidon and of Libya, daughter of Epaphus, son of Zeus; he ruled in Egypt, a land walled by the Nile, which gives it protection and food. He divided the people into priests, craftsmen, and warriors, each holding to one work, so that Egypt became the most prosperous of lands; the Spartans imitate part of his order. He gave the priests abundance, temperance, and leisure, with which they discovered medicine and philosophy.

τὴν μὲν ἐπιείκειαν τὴν σήν, ὦ Πολύκρατες, καὶ τὴν τοῦ 1
the indeed fairness the your O Polycrates and the of-the
βίου μεταβολὴν παρ᾽ ἄλλων πυνθανόμενος οἶδα· τῶν δὲ
life change from others learning I-know of-the and
λόγων τινάς, ὧν γέγραφας, αὐτὸς ἀνεγνωκὼς ἥδιστα
speeches some which you-have-written myself having-read most-gladly
μὲν ἄν σοι περὶ ὅλης ἐπαρρησιασάμην τῆς παιδεύσεως,
indeed — to-you about whole I-would-have-spoken-frankly the education
περὶ ἣν ἠνάγκασαι διατρίβειν· ἡγοῦμαι γὰρ τοῖς
about which you-have-been-compelled to-spend-time I-think for for-the-ones
ἀναξίως μὲν δυστυχοῦσιν, ἐκ δὲ φιλοσοφίας χρηματίζεσθαι
undeservedly indeed being-unfortunate from but philosophy to-make-money
ζητοῦσιν ἅπαντας τοὺς πλείω πεπραγματευμένους καὶ
seeking all the-ones more having-labored and
μᾶλλον ἀπηκριβωμένους προσήκειν ἐθελοντὰς τοῦτον
more having-become-exact to-befit voluntarily this
εἰσφέρειν τὸν ἔρανον·
to-contribute the contribution

2 ἐπειδὴ δ᾽ οὔπω περιτετυχήκαμεν ἀλλήλοις, περὶ μὲν τῶν
since but not-yet we-have-met one-another about indeed the
ἄλλων, ἤν ποτ᾽ εἰς ταὐτὸν ἔλθωμεν, τόθ᾽ ἡμῖν ἐξέσται
other-things if ever into the-same we-come then for-us it-will-be-possible
διὰ πλειόνων ποιήσασθαι τὴν συνουσίαν, ἃ δ᾽ ἐν τῷ
through more to-make the conversation what but in the
παρόντι δυναίμην ἂν εὐεργετῆσαί σε, ταῦτα δ᾽ ᾠήθην
present I-could — to-benefit you these-things but I-thought
χρῆναι σοὶ μὲν ἐπιστεῖλαι, πρὸς δὲ τοὺς ἄλλους ὡς
to-be-necessary to-you indeed to-send to but the others as
οἷόν τε μάλιστ᾽ ἀποκρύψασθαι.
possible — most to-conceal

3 γιγνώσκω μὲν οὖν, ὅτι τοῖς πλείστοις τῶν νουθετουμένων
I-know indeed then that to-the most of-the-ones admonished
ἔμφυτόν ἐστι μὴ πρὸς τὰς ὠφελείας ἀποβλέπειν, ἀλλὰ
inborn it-is not to the benefits to-look but
τοσούτῳ χαλεπώτερον ἀκούειν τῶν λεγομένων, ὅσῳ περ
by-so-much more-harshly to-hear the things-said by-as-much very
ἂν αὐτῶν τις ἀκριβέστερον ἐξετάζῃ τὰς ἁμαρτίας· ὅμως
— of-them anyone more-exactly examines the errors nevertheless
δ᾽ οὐκ ὀκνητέον ὑπομένειν τὴν ἀπέχθειαν ταύτην τοῖς
but not one-must-shrink to-endure the dislike this for-the-ones
εὐνοϊκῶς πρός τινας ἔχουσιν, ἀλλὰ πειρατέον μεθιστάναι τὴν
well-disposedly toward some being but one-must-try to-change the
δόξαν τῶν οὕτω πρὸς τοὺς συμβουλεύοντας διακειμένων.
opinion of-the-ones so toward the advisers disposed

4 αἰσθόμενος οὖν οὐχ ἥκιστά σε μεγαλαυχούμενον ἐπί τε
having-perceived then not least you priding-yourself on both
τῇ Βουσίριδος ἀπολογίᾳ καὶ τῇ Σωκράτους κατηγορίᾳ,
the of-Busiris defense and the of-Socrates accusation
πειράσομαί σοι ποιῆσαι καταφανές, ὅτι πολὺ τοῦ δέοντος
I-shall-try for-you to-make evident that much than-the needful

ἐν ἀμφοτέροις τοῖς λόγοις διήμαρτες. ἁπάντων γὰρ εἰδότων,
in both the speeches you-erred of-all for knowing
ὅτι δεῖ τοὺς μὲν εὐλογεῖν τινὰς βουλομένους πλείω
that it-is-necessary the-ones indeed to-eulogize some wishing more
τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς προσόντ᾽ ἀποφαίνειν,
than-the existing goods to-them belonging to-show
τοὺς δὲ κατηγοροῦντας τἀναντία τούτων ποιεῖν,
the-ones but accusing the-opposite of-these to-do
τοσούτου δεῖς οὕτω κεχρῆσθαι τοῖς λόγοις, ὥσθ᾽ ὑπὲρ 5
so-far you-fall-short so to-have-used the speeches that for
μὲν Βουσίριδος ἀπολογήσασθαι φάσκων οὐχ ὅπως τῆς
indeed Busiris to-defend claiming not only from-the
ὑπαρχούσης αὐτὸν διαβολῆς ἀπήλλαξας ἀλλὰ καὶ τηλικαύτην
existing him slander you-freed but also so-great
αὐτῷ τὸ μέγεθος παρανομίαν προσῆψας, ἧς οὐκ ἔσθ᾽
on-him in-the size lawlessness you-fastened than-which not it-is
ὅπως ἄν τις δεινοτέραν ἐξευρεῖν δυνηθείη· τῶν γὰρ ἄλλων
how — anyone more-terrible to-find could-be-able of-the for others
τῶν ἐπιχειρησάντων ἐκεῖνον λοιδορεῖν τοσοῦτον μόνον
of-the-ones having-attempted him to-revile so-much only
περὶ αὐτοῦ βλασφημούντων, ὡς ἔθυε τῶν ξένων τοὺς
about him slandering that he-sacrificed of-the strangers the-ones
ἀφικνουμένους, σὺ καὶ κατεσθίειν αὐτὸν τοὺς ἀνθρώπους
arriving you even to-devour him the men
ᾐτιάσω· Σωκράτους δὲ κατηγορεῖν ἐπιχειρήσας, ὥσπερ
accused of-Socrates and to-accuse having-attempted as-if
ἐγκωμιάσαι βουλόμενος Ἀλκιβιάδην ἔδωκας αὐτῷ μαθητήν,
to-eulogize wishing Alcibiades you-gave him as-pupil
ὃν ὑπ᾽ ἐκείνου μὲν οὐδεὶς ᾔσθετο παιδευόμενον, ὅτι δὲ
whom by him indeed no-one perceived being-educated that but
πολὺ διήνεγκε τῶν ἄλλων, ἅπαντες ἂν ὁμολογήσειαν.
much he-excelled the others all — would-agree

6 τοιγαροῦν εἰ γένοιτ᾽ ἐξουσία τοῖς τετελευτηκόσι
therefore if there-should-be license for-the dead
βουλεύσασθαι περὶ τῶν εἰρημένων, ὁ μὲν ἄν σοι
to-deliberate about the-things said the-one indeed — to-you
τοσαύτην ἔχοι χάριν ὑπὲρ τῆς κατηγορίας, ὅσην
so-great would-have gratitude for the accusation as-much-as
οὐδενὶ τῶν ἐπαινεῖν αὐτὸν εἰθισμένων, ὁ δ᾽ εἰ καὶ
to-none of-the-ones to-praise him accustomed the-other but if even
περὶ τοὺς ἄλλους πραότατος ἦν, ἀλλ᾽ οὖν ἐπί γε τοῖς
toward the others gentlest he-was but anyway at least the-things
ὑπὸ σοῦ λεγομένοις οὕτως ἂν ἀγανακτήσειεν ὥστε μηδεμιᾶς
by you said so — would-be-indignant that from-no
ἀποσχέσθαι τιμωρίας. καίτοι πῶς οὐκ αἰσχύνεσθαι μᾶλλον
to-abstain vengeance and-yet how not to-be-ashamed rather
ἢ σεμνύνεσθαι προσήκει τὸν παρὰ τοῖς λοιδορουμένοις ὑφ᾽
than to-pride-oneself it-befits the-one by the-ones reviled by
αὐτοῦ μᾶλλον ἀγαπώμενον ἢ παρὰ τοῖς ἐγκωμιαζομένοις;
him more loved than by the-ones eulogized
7 οὕτω δ᾽ ἠμέλησας, εἰ μηδὲν ὁμολογούμενον ἐρεῖς,
so and you-neglected whether nothing consistent you-will-say
ὥστε φὴς μὲν αὐτὸν τὴν Αἰόλου καὶ τὴν Ὀρφέως
that you-say indeed him the of-Aeolus and the of-Orpheus
ζηλῶσαι δόξαν, ἀποφαίνεις δ᾽ οὐδὲν τῶν αὐτῶν
to-have-emulated glory you-show but nothing of-the same-things
ἐκείνοις ἐπιτηδεύσαντα. πότερα γὰρ τοῖς περὶ Αἰόλου
as-those having-practiced whether for to-the-things about Aeolus
λεγομένοις αὐτὸν παρατάξωμεν; ἀλλ᾽ ἐκεῖνος μὲν τῶν
said him should-we-set-beside but he indeed of-the
ξένων τοὺς ἐπὶ τὴν χώραν ἐκπίπτοντας εἰς τὰς αὐτῶν
strangers the-ones on the land cast-ashore to the their

πατρίδας ἀπέστελλεν, ὁ δ' εἰ χρὴ τοῖς ὑπὸ σοῦ
fatherlands sent-back he but if it-is-necessary the-things by you
λεγομένοις πιστεύειν, θύσας κατήσθιεν.
said to-believe having-sacrificed devoured
ἢ τοῖς Ὀρφέως ἔργοις ὁμοιώσωμεν; ἀλλ' ὁ μὲν ἐξ Ἅιδου 8
or to-the of-Orpheus deeds should-we-liken-him but the-one indeed from Hades
τοὺς τεθνεῶτας ἀνῆγεν, ὁ δὲ πρὸ μοίρας τοὺς ζῶντας
the dead led-up the-other but before fate the living
ἀπώλλυεν. ὥσθ' ἡδέως ἂν εἰδείην, τί ποτ' ἂν ἐποίησεν,
destroyed so-that gladly — I-would-know what ever — he-would-have-done
εἰ καταφρονῶν αὐτῶν ἐτύγχανεν, ὃς θαυμάζων τὴν ἀρετὴν
if despising them he-had-happened who admiring the virtue
τὴν ἐκείνων ἅπαντα φαίνεται τἀναντία διαπραττόμενος.
the their all appears the-opposite-things doing
ὃ δὲ πάντων ἀτοπώτατον, ὅτι περὶ τὰς γενεαλογίας
what but of-all most-absurd that about the genealogies
ἐσπουδακὼς ἐτόλμησας εἰπεῖν, ὡς τούτους ἐζήλωσεν, ὧν
having-been-earnest you-dared to-say that these he-emulated of-whom
οὐδ' οἱ πατέρες πω κατ' ἐκεῖνον τὸν χρόνον γεγονότες ἦσαν.
not-even the fathers yet in that the time born were
ἵνα δὲ μὴ δοκῶ τὸ προχειρότατον ποιεῖν, ἐπιλαμβάνεσθαι 9
so-that and not I-may-seem the readiest to-do to-lay-hold-of
τῶν εἰρημένων, πειράσομαί σοι διὰ βραχέων δηλῶσαι
the things-said I-shall-try to-you in brief to-show
περὶ τὴν αὐτὴν ὑπόθεσιν, καίπερ οὐ σπουδαίαν οὖσαν
about the same subject although not serious being
οὐδὲ σεμνοὺς λόγους ἔχουσαν, ἐξ ὧν ἔδει καὶ τὸν
nor dignified speeches having from which it-was-necessary both the
ἔπαινον καὶ τὴν ἀπολογίαν ποιήσασθαι.
praise and the defense to-make

10 περὶ μὲν οὖν τῆς Βουσίριδος εὐγενείας τίς οὐκ ἂν δυνηθείη
about indeed then the of-Busiris noble-birth who not — could-be-able
ῥᾳδίως εἰπεῖν; ὃς πατρὸς μὲν ἦν Ποσειδῶνος, μητρὸς
easily to-tell who of-father indeed was Poseidon of-mother
δὲ Λιβύης τῆς Ἐπάφου τοῦ Διός, ἣν φασι πρώτην
but Libya the daughter-of-Epaphus the son-of-Zeus who they-say first
γυναῖκα βασιλεύσασαν ὁμώνυμον αὐτῇ τὴν χώραν
woman having-reigned same-named with-herself the land
καταστῆσαι. τυχὼν δὲ τοιούτων προγόνων οὐκ ἐπὶ τούτοις
to-have-made having-got and such ancestors not on these
μόνοις μέγ' ἐφρόνησεν, ἀλλ' ᾠήθη δεῖν καὶ τῆς ἀρετῆς
only great he-thought but he-thought to-be-necessary also of-the virtue
τῆς αὐτοῦ μνημεῖον εἰς ἅπαντα τὸν χρόνον καταλιπεῖν.
the his-own memorial for all the time to-leave

11 τὴν μὲν οὖν μητρῴαν ἀρχὴν ὑπερεῖδεν ἐλάττω νομίσας
the indeed then maternal rule he-disdained smaller having-thought
ἢ κατὰ τὴν αὐτοῦ φύσιν εἶναι, πλείστους δὲ
than according-to the his nature to-be most but
καταστρεψάμενος καὶ μεγίστην δύναμιν κτησάμενος ἐν
having-subdued and greatest power having-acquired in
Αἰγύπτῳ κατεστήσατο τὴν βασιλείαν, οὐκ ἐκ τῶν
Egypt he-established the kingship not from the
παρουσῶν μόνον ἀλλ' ἐξ ἁπασῶν προκρίνας τὴν ἐκεῖ
present only but from all having-preferred the there
πολὺ διαφέρειν οἴκησιν.
much to-excel dwelling

12 ἑώρα γὰρ τοὺς μὲν ἄλλους τόπους οὐκ εὐκαίρως οὐδ'
he-saw for the indeed other places not conveniently nor
εὐαρμόστως πρὸς τὴν τοῦ σύμπαντος φύσιν ἔχοντας,
harmoniously toward the of-the universe nature being
ἀλλὰ τοὺς μὲν ὑπ' ὄμβρων κατακλυζομένους, τοὺς δ'
but the-ones indeed by rains being-flooded the-others but

ὑπὸ καυμάτων διαφθειρομένους, ταύτην δὲ τὴν χώραν
by heats being-destroyed this but the land
ἐν καλλίστῳ μὲν τοῦ κόσμου κειμένην, πλεῖστα δὲ καὶ
in finest indeed of-the world lying most and also
παντοδαπώτατα φέρειν δυναμένην, ἀθανάτῳ δὲ τείχει τῷ
most-various to-bear able with-immortal and wall the
Νείλῳ τετειχισμένην,
Nile walled
ὃς οὐ μόνον φυλακὴν ἀλλὰ καὶ τροφὴν ἱκανὴν αὐτῇ 13
which not only protection but also nourishment sufficient to-it
παρέχειν πέφυκεν, ἀνάλωτος μὲν ὢν καὶ δύσμαχος
to-provide is-by-nature impregnable indeed being and hard-to-fight
τοῖς ἐπιβουλεύουσιν, εὐαγωγὸς δὲ καὶ πρὸς πολλὰ
for-the-ones plotting easily-navigable but and for many-things
χρήσιμος τοῖς ἐντὸς αὐτοῦ κατοικοῦσιν. πρὸς γὰρ τοῖς
useful for-the-ones within it dwelling besides for the
προειρημένοις καὶ τὴν δύναμιν αὐτῶν πρὸς τὴν τῆς γῆς
said-before also the power their for the of-the earth
ἐργασίαν ἰσόθεον πεποίηκεν· τῶν γὰρ ὄμβρων καὶ τῶν
cultivation godlike it-has-made of-the for rains and of-the
αὐχμῶν τοῖς μὲν ἄλλοις ὁ Ζεὺς ταμίας ἐστίν, ἐκείνων δ'
droughts for-the indeed others — Zeus dispenser is of-those but
ἕκαστος ἀμφοτέρων τούτων αὐτὸς αὐτῷ κύριος καθέστηκεν.
each of-both these himself for-himself master has-become
εἰς τοσαύτην δ' ὑπερβολὴν εὐδαιμονίας ἥκουσιν, ὥστε 14
to such and excess of-prosperity they-have-come that
τῇ μὲν ἀρετῇ καὶ τῇ φύσει τῆς χώρας καὶ τῷ πλήθει
by-the indeed excellence and by-the nature of-the land and by-the size
τῶν πεδίων ἤπειρον καρποῦνται, τῇ δὲ τῶν περιόντων
of-the plains a-mainland they-enjoy by-the but of-the surpluses
διαθέσει καὶ τῇ τῶν ἐλλειπόντων κομιδῇ διὰ τὴν
disposal and by-the of-the lacks import because-of the

τοῦ ποταμοῦ δύναμιν νῆσον οἰκοῦσιν· κύκλῳ γὰρ αὐτὴν
of-the river power an-island they-inhabit round for it
περιέχων καὶ πᾶσαν διαρρέων πολλὴν αὐτοῖς εὐπορίαν
encircling and all flowing-through much for-them abundance
ἀμφοτέρων τούτων πεποίηκεν.
of-both these it-has-made
15 ἤρξατο μὲν οὖν ἐντεῦθεν, ὅθεν περ χρὴ τοὺς εὖ
he-began indeed then from-there whence very it-is-necessary the-ones well
φρονοῦντας, ἅμα τόν τε τόπον ὡς κάλλιστον
thinking at-the-same-time the both place as finest
καταλαβεῖν καὶ τροφὴν ἱκανὴν τοῖς περὶ αὐτὸν ἐξευρεῖν.
to-occupy and nourishment sufficient for-the-ones about him to-find
μετὰ δὲ ταῦτα διελόμενος χωρὶς ἑκάστους τοὺς μὲν ἐπὶ
after and these-things having-divided separately each the-ones indeed over
τὰς ἱερωσύνας κατέστησε, τοὺς δ' ἐπὶ τὰς τέχνας ἔτρεψε,
the priesthoods he-set the-ones but to the arts he-turned
τοὺς δὲ τὰ περὶ τὸν πόλεμον μελετᾶν ἠνάγκασεν,
the-ones but the-things about the war to-practice he-compelled
ἡγούμενος τὰ μὲν ἀναγκαῖα καὶ τὰς περιουσίας ἔκ τε
thinking the indeed necessities and the surpluses from both
τῆς χώρας καὶ τῶν τεχνῶν δεῖν ὑπάρχειν, τούτων
the land and the arts to-be-necessary to-exist of-these
δ' εἶναι φυλακὴν ἀσφαλεστάτην τήν τε περὶ τὸν πόλεμον
but to-be protection safest the both about the war
ἐπιμέλειαν καὶ τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν.
care and the toward the gods piety
16 ἅπαντας δὲ τοὺς ἀριθμοὺς περιλαβών, ἐξ ὧν ἄριστ'
all and the numbers having-included from which best
ἄν τις τὰ κοινὰ διοικήσειεν, ἀεὶ τοῖς αὐτοῖς τὰς
— anyone the public-affairs could-administer always the same the
αὐτὰς πράξεις μεταχειρίζεσθαι προσέταξεν, εἰδὼς τοὺς
same actions to-handle he-ordered knowing the-ones

μὲν μεταβαλλομένους τὰς ἐργασίας οὐδὲ πρὸς ἓν τῶν
indeed changing the occupations not-even for one of-the
ἔργων ἀκριβῶς ἔχοντας, τοὺς δ' ἐπὶ ταῖς αὐταῖς πράξεσι
works exactly being the-ones but in the same actions
συνεχῶς διαμένοντας εἰς ὑπερβολὴν ἕκαστον ἀποτελοῦντας.
continuously remaining to excellence each accomplishing
τοιγαροῦν καὶ πρὸς τὰς τέχνας εὑρήσομεν αὐτοὺς πλέον 17
therefore both in the arts we-shall-find them more
διαφέροντας τῶν περὶ τὰς αὐτὰς ἐπιστήμας ἢ τοὺς
excelling the-ones in the same skills than the
ἄλλους δημιουργοὺς τῶν ἰδιωτῶν, καὶ πρὸς τὴν σύνταξιν,
other craftsmen the laymen and in the organization
δι' ἧς τήν τε βασιλείαν καὶ τὴν ἄλλην πολιτείαν
through which the both kingship and the other constitution
διαφυλάττουσιν, οὕτω καλῶς ἔχοντας ὥστε καὶ τῶν
they-preserve so well being that also of-the
φιλοσόφων τοὺς ὑπὲρ τῶν τοιούτων λέγειν ἐπιχειροῦντας
philosophers the-ones about the such to-speak attempting
καὶ μάλιστ' εὐδοκιμοῦντας τὴν ἐν Αἰγύπτῳ προαιρεῖσθαι
and most well-reputed the in Egypt to-prefer
πολιτείαν, καὶ Λακεδαιμονίους μέρος τι τῶν ἐκεῖθεν
constitution and Lacedaemonians part some of-the-things from-there
μιμουμένους ἄριστα διοικεῖν τὴν αὐτῶν πόλιν.
imitating best to-govern the their city
καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων 18
and for the no-one of-the fighting-men without the of-the rulers
γνώμης ἀποδημεῖν καὶ τὰ συσσίτια καὶ τὴν τῶν σωμάτων
consent to-go-abroad and the common-meals and the of-the bodies
ἄσκησιν, ἔτι δὲ τὸ μηδενὸς τῶν ἀναγκαίων ἀποροῦντας
training further and the of-nothing of-the necessities lacking
τῶν κοινῶν προσταγμάτων ἀμελεῖν, μηδ' ἐπὶ ταῖς ἄλλαις
the public commands to-neglect nor in the other

τέχναις διατρίβειν, ἀλλὰ τοῖς ὅπλοις καὶ ταῖς στρατείαις
arts to-spend-time but to-the arms and the expeditions
προσέχειν τὸν νοῦν, ἐκεῖθεν ἅπαντα ταῦτ᾽ εἰλήφασιν.
to-turn the mind from-there all these-things they-have-taken
19 τοσούτῳ δὲ χεῖρον κέχρηνται τούτοις τοῖς ἐπιτηδεύμασιν,
by-so-much and worse they-have-used these the pursuits
ὅσον οὗτοι μὲν ἅπαντες στρατιῶται καταστάντες
as-much-as these indeed all soldiers having-become
βίᾳ τὰ τῶν ἄλλων λαμβάνειν ἀξιοῦσιν, ἐκεῖνοι δ᾽
by-force the-things of-the others to-take think-fit they but
οὕτως οἰκοῦσιν, ὥσπερ χρὴ τοὺς μήτε τῶν ἰδίων
so live as it-is-necessary the-ones neither the own-things
ἀμελοῦντας μήτε τοῖς ἀλλοτρίοις ἐπιβουλεύοντας. γνοίη
neglecting nor the others' plotting-against could-know
δ᾽ ἄν τις ἐνθένδε τὸ διάφορον ἑκατέρας τῆς πολιτείας.
and — anyone from-here the difference of-each the constitution
20 εἰ μὲν γὰρ ἅπαντες μιμησαίμεθα τὴν Λακεδαιμονίων
if indeed for all we-should-imitate the of-Lacedaemonians
ἀργίαν καὶ πλεονεξίαν, εὐθὺς ἂν ἀπολοίμεθα καὶ διὰ
idleness and greed at-once — we-would-perish both because-of
τὴν ἔνδειαν τῶν καθ᾽ ἡμέραν καὶ διὰ τὸν πόλεμον
the want of-the-things by day and because-of the war
τὸν πρὸς ἡμᾶς αὐτούς· εἰ δὲ τοῖς Αἰγυπτίων νόμοις
the against us ourselves if but the of-Egyptians laws
χρῆσθαι βουληθεῖμεν, καὶ τοῖς μὲν ἐργάζεσθαι, τοῖς
to-use we-should-wish and for-the-ones indeed to-work for-the-ones
δὲ τὰ τούτων σῴζειν δόξειεν, ἕκαστοι τὴν αὐτῶν
but the-things of-these to-protect it-should-seem each the their-own
ἔχοντες εὐδαιμόνως ἂν τὸν βίον διατελοῖμεν.
having prosperously — the life we-would-pass

καὶ μὲν δὴ καὶ τῆς περὶ τὴν φρόνησιν ἐπιμελείας εἰκότως ἄν 21
and indeed now also of-the about the wisdom care reasonably —
τις ἐκεῖνον αἴτιον νομίσειεν. τοῖς γὰρ ἱερεῦσι παρεσκεύασεν
anyone him cause would-think for-the for priests he-provided
εὐπορίαν μὲν ταῖς ἐκ τῶν ἱερῶν προσόδοις, σωφροσύνην δὲ
abundance indeed by-the from the sacred revenues temperance but
ταῖς ἁγνείαις ταῖς ὑπὸ τῶν νόμων προστεταγμέναις, σχολὴν
by-the purifications the by the laws prescribed leisure
δὲ ταῖς τῶν κινδύνων καὶ τῶν ἄλλων ἔργων ἀτελείαις·
but by-the from-the dangers and the other works exemptions
μεθ' ὧν ἐκεῖνοι βιοτεύοντες τοῖς μὲν σώμασιν ἰατρικὴν 22
with which they living for-the indeed bodies medical
ἐξεῦρον ἐπικουρίαν, οὐ διακεκινδυνευμένοις φαρμάκοις
discovered aid not risky drugs
χρωμένην ἀλλὰ τοιούτοις, ἃ τὴν μὲν ἀσφάλειαν ὁμοίαν
using but such which the indeed safety like
ἔχει τῇ τροφῇ τῇ καθ' ἡμέραν, τὰς δ' ὠφελείας
have to-the food the by day the but benefits
τηλικαύτας ὥστ' ἐκείνους ὁμολογουμένως ὑγιεινοτάτους
so-great that they admittedly healthiest
εἶναι καὶ μακροβιωτάτους, ταῖς δὲ ψυχαῖς φιλοσοφίας
to-be and longest-lived for-the but souls of-philosophy
ἄσκησιν κατέδειξαν, ἣ καὶ νομοθετῆσαι καὶ τὴν φύσιν
training they-showed which both to-legislate and the nature
τῶν ὄντων ζητῆσαι δύναται.
of-the things-that-are to-investigate is-able
καὶ τοὺς μὲν πρεσβυτέρους ἐπὶ τὰ μέγιστα τῶν 23
and the indeed older over the greatest of-the
πραγμάτων ἔταξεν, τοὺς δὲ νεωτέρους ἀμελήσαντας τῶν
affairs he-set the but younger having-neglected the
ἡδονῶν ἐπ' ἀστρολογίᾳ καὶ λογισμοῖς καὶ γεωμετρίᾳ
pleasures on astronomy and calculations and geometry

διατρίβειν ἔπεισεν, ὧν τὰς δυνάμεις οἱ μὲν ὡς
to-spend-time he-persuaded of-which the powers the-ones indeed as
πρὸς ἔνια χρησίμους ἐπαινοῦσιν, οἱ δ' ὡς πλεῖστα
for some-things useful praise the-ones but as most
πρὸς ἀρετὴν συμβαλλομένας ἀποφαίνειν ἐπιχειροῦσιν.
toward virtue contributing to-show attempt

II · EGYPT'S PIETY AND POLYCRATES' FAULTS

The Egyptians are most admired for their piety: their oaths are trusted and their penalties sure, and Busiris made them worship animals to accustom the crowd to obedience and to test their reverence. Pythagoras learned philosophy from them and brought it to Greece. If Polycrates objects that Isocrates offers no proof, his own speech offered none for its monstrous charges. Isocrates attributes to Busiris laws and a constitution; Polycrates made him a cannibal, a deed of beasts, not of men. Chronology alone refutes his slanderers, since Heracles, said to have killed Busiris, was four generations after Perseus, while Busiris was more than two hundred years older. Polycrates followed the poets, who slander the gods and their sons and paid for it, Orpheus torn apart. Isocrates urges him to choose better subjects so as not to harm philosophy.

24 μάλιστα δ' ἄξιον ἐπαινεῖν καὶ θαυμάζειν τὴν εὐσέβειαν
most and worthy to-praise and to-admire the piety
αὐτῶν καὶ τὴν περὶ τοὺς θεοὺς θεραπείαν. ὅσοι μὲν
their and the toward the gods worship as-many-as indeed
γὰρ σφᾶς αὐτοὺς οὕτω κατεσχημάτισαν ὥστ' ἢ κατὰ
for them- -selves so have-posed that either in
σοφίαν ἢ κατ' ἄλλην τιν' ἀρετὴν ὑπολαμβάνεσθαι μειζόνως
wisdom or in other some virtue to-be-supposed more-greatly
ἢ κατὰ τὴν ἀξίαν, οὗτοι μὲν βλάπτουσι τοὺς
than according-to the worth these indeed harm the-ones
ἐξαπατηθέντας· ὅσοι δὲ τῶν θείων πραγμάτων οὕτω
deceived as-many-as but of-the divine affairs so

προέστησαν ὥστε καὶ τὰς ἐπιμελείας καὶ τὰς τιμωρίας
have-presided that both the cares and the punishments
εἶναι δοκεῖν ἀκριβεστέρας τῶν συμβαινόντων, οἱ δὲ
to-be to-seem more-exact than-the realities they but
τοιοῦτοι πλεῖστα τὸν βίον τὸν τῶν ἀνθρώπων ὠφελοῦσιν.
such most the life the of-the men benefit
καὶ γὰρ τὴν ἀρχὴν οἱ τὸν φόβον ἡμῖν ἐνεργασάμενοι 25
and for the beginning the-ones the fear in-us having-produced
τοῦτον αἴτιοι γεγόνασι τοῦ μὴ παντάπασι θηριωδῶς
this causes have-been of-the not altogether brutishly
διακεῖσθαι πρὸς ἀλλήλους. ἐκεῖνοι τοίνυν οὕτως ἁγίως
to-be-disposed toward one-another they then so holily
περὶ ταῦτα καὶ σεμνῶς ἔχουσιν ὥστε καὶ τοὺς ὅρκους
about these-things and august are-disposed that also the oaths
πιστοτέρους εἶναι τοὺς ἐν τοῖς ἐκείνων ἱεροῖς ἢ τοὺς
more-trustworthy to-be the-ones in the their sanctuaries than the-ones
παρὰ τοῖς ἄλλοις καθεστῶτας, καὶ τῶν ἁμαρτημάτων
among the others established and of-the errors
ἕκαστον οἴεσθαι παραχρῆμα δώσειν δίκην, ἀλλ᾽ οὐ
each to-think at-once to-be-going-to-pay penalty but not
διαλήσειν τὸν παρόντα χρόνον, οὐδ᾽ εἰς τοὺς
to-be-going-to-escape-notice the present time nor onto the
παῖδας ἀναβληθήσεσθαι τὰς τιμωρίας.
children to-be-going-to-be-deferred the punishments
καὶ ταῦτ᾽ εἰκότως δοξάζουσιν· πολλὰς γὰρ αὐτοῖς καὶ 26
and these-things reasonably they-believe many for for-them and
παντοδαπὰς ἀσκήσεις τῆς ὁσιότητος ἐκεῖνος κατέστησεν,
various exercises of-the holiness he established
ὅστις καὶ τῶν ζώων τῶν παρ᾽ ἡμῖν καταφρονουμένων
who also of-the animals the among us despised
ἔστιν ἃ σέβεσθαι καὶ τιμᾶν ἐνομοθέτησεν, οὐκ ἀγνοῶν
there-are which to-revere and to-honor he-legislated not being-ignorant-of

τὴν δύναμιν αὐτῶν, ἀλλ' ἅμα μὲν ἐθίζειν οἰόμενος
the power of-them but at-the-same-time indeed to-accustom thinking
δεῖν τὸν ὄχλον ἐμμένειν ἅπασι τοῖς ὑπὸ τῶν
to-be-necessary the crowd to-abide-by all the-things by the
ἀρχόντων παραγγελλομένοις,
rulers enjoined
27 ἅμα δὲ βουλόμενος πεῖραν λαμβάνειν ἐν τοῖς
at-the-same-time and wishing a-test to-take in the
φανεροῖς, ἥντινα περὶ τῶν ἀφανῶν διάνοιαν ἔχουσιν.
visible-things what about the invisible-things mind they-have
ἐνόμιζε γὰρ τοὺς μὲν τούτων ὀλιγωροῦντας τυχὸν καὶ
he-thought for the-ones indeed these neglecting perhaps also
τῶν μειζόνων καταφρονήσειν, τοὺς δ' ἐπὶ πάντων ὁμοίως
the greater-things to-be-going-to-despise the-ones but in all alike
ἐμμένοντας τῇ τάξει βεβαίως ἔσεσθαι τὴν αὐτῶν
abiding-by the order firmly to-be-going-to-be the their
εὐσέβειαν ἐπιδεδειγμένους.
piety having-displayed
28 ἔχοι δ' ἄν τις μὴ σπεύδειν ὡρμημένος πολλὰ καὶ θαυμαστὰ
could and — anyone not hastening having-set-out many and wonderful-things
περὶ τῆς ὁσιότητος αὐτῶν διελθεῖν, ἣν οὔτε μόνος οὔτε
about the holiness their to-go-through which neither alone nor
πρῶτος ἐγὼ τυγχάνω καθεωρακώς, ἀλλὰ πολλοὶ καὶ τῶν
first I happen having-observed but many both of-the-ones
ὄντων καὶ τῶν προγεγενημένων, ὧν καὶ Πυθαγόρας
living and of-the-ones having-lived-before of-whom also Pythagoras
ὁ Σάμιός ἐστιν· ὃς ἀφικόμενος εἰς Αἴγυπτον καὶ μαθητὴς
the Samian is who having-arrived in Egypt and pupil
ἐκείνων γενόμενος τήν τ' ἄλλην φιλοσοφίαν πρῶτος εἰς
of-them having-become the both other philosophy first to
τοὺς Ἕλληνας ἐκόμισε, καὶ τὰ περὶ τὰς θυσίας καὶ τὰς
the Greeks brought and the-things about the sacrifices and the

ἁγιστείας τὰς ἐν τοῖς ἱεροῖς ἐπιφανέστερον τῶν ἄλλων
rituals the in the sanctuaries more-conspicuously than-the others
ἐσπούδασεν, ἡγούμενος, εἰ καὶ μηδὲν αὐτῷ διὰ ταῦτα
was-zealous thinking if even nothing to-him because-of these-things
πλέον γίγνοιτο παρὰ τῶν θεῶν, ἀλλ᾽ οὖν παρά γε
more should-come from the gods but anyway among at-least
τοῖς ἀνθρώποις ἐκ τούτων μάλιστ᾽ εὐδοκιμήσειν.
the men from these most to-be-going-to-be-well-thought-of
ὅπερ αὐτῷ καὶ συνέβη· τοσοῦτον γὰρ εὐδοξίᾳ τοὺς 29
which-very to-him also happened so-much for in-good-repute the
ἄλλους ὑπερέβαλεν, ὥστε καὶ τοὺς νεωτέρους ἅπαντας
others he-surpassed that both the younger all
ἐπιθυμεῖν αὐτοῦ μαθητὰς εἶναι, καὶ τοὺς πρεσβυτέρους
to-desire his pupils to-be and the older
ἥδιον ὁρᾶν τοὺς παῖδας τοὺς αὐτῶν ἐκείνῳ συγγιγνομένους
more-gladly to-see the children the their with-him associating
ἢ τῶν οἰκείων ἐπιμελουμένους. καὶ τούτοις οὐχ οἷόν τ᾽
than of-the household taking-care and these not possible —
ἀπιστεῖν· ἔτι γὰρ καὶ νῦν τοὺς προσποιουμένους ἐκείνου
to-disbelieve still for even now the-ones claiming his
μαθητὰς εἶναι μᾶλλον σιγῶντας θαυμάζουσιν ἢ τοὺς ἐπὶ
pupils to-be more being-silent they-admire than the-ones for
τῷ λέγειν μεγίστην δόξαν ἔχοντας.
the to-speak greatest reputation having
ἴσως ἂν οὖν τοῖς εἰρημένοις ἀπαντήσειας, ὅτι τὴν μὲν 30
perhaps — then to-the things-said you-might-reply that the indeed
χώραν καὶ τοὺς νόμους καὶ τὴν εὐσέβειαν, ἔτι δὲ τὴν
land and the laws and the piety further and the
φιλοσοφίαν ἐπαινῶ τὴν Αἰγυπτίων, ὡς δὲ τούτων αἴτιος
philosophy I-praise the of-Egyptians that but of-these cause
ἦν, ὃν ὑπεθέμην, οὐδεμίαν ἔχω λέγειν ἀπόδειξιν.
was the-one-whom I-proposed no I-have to-name proof

ἐγὼ δ᾽ εἰ μὲν ἄλλος τίς μοι τὸν τρόπον τοῦτον
I but if indeed another anyone me the way this
ἐπέπληττεν, ἡγούμην ἂν αὐτὸν πεπαιδευμένως ἐπιτιμᾶν·
rebuked I-would-think — him learnedly to-censure
σοὶ δ᾽ οὐ προσήκει ταύτην ποιεῖσθαι τὴν ἐπίληψιν.
for-you but not it-befits this to-make the objection
31 βουληθεὶς γὰρ Βούσιριν εὐλογεῖν προείλου λέγειν, ὡς
having-wished for Busiris to-eulogize you-chose to-say that
τόν τε Νεῖλον περὶ τὴν χώραν περιέρρηξε καὶ τῶν
the both Nile around the land he-broke and of-the
ξένων τοὺς ἀφικνουμένους θύων κατήσθιεν· ὡς δὲ
strangers the-ones arriving sacrificing he-devoured that but
ταῦτ᾽ ἐποίησεν οὐδεμίαν πίστιν εἴρηκας. καίτοι πῶς
these-things he-did no proof you-have-stated and-yet how
οὐ καταγέλαστόν ἐστι ταῦτα παρὰ τῶν ἄλλων ἀπαιτεῖν,
not ridiculous is these-things from the others to-demand
οἷς αὐτὸς μηδὲ κατὰ μικρὸν τυγχάνεις κεχρημένος;
which yourself not-even in small you-happen having-used
32 ἀλλὰ τοσούτῳ πλέον ἡμῶν ἀπέχεις τοῦ πιστὰ λέγειν,
but by-so-much more than-we you-are-far from-the credible-things to-say
ὅσον ἐγὼ μὲν οὐδενὸς αὐτὸν αἰτιῶμαι τῶν ἀδυνάτων
as-much-as I indeed of-none him accuse of-the impossible-things
ἀλλὰ νόμων καὶ πολιτείας, αἵπερ εἰσὶ πράξεις τῶν
but of-laws and of-constitution which-very are works of-the
ἀνδρῶν τῶν καλῶν κἀγαθῶν· σὺ δὲ τοιούτων δημιουργὸν
men the fine and-good you but of-such author
ἀποφαίνεις, ὧν οὐδέτερον οὐδεὶς ἂν ἀνθρώπων ποιήσειεν,
show of-which neither no-one — of-men would-do
ἀλλὰ τὸ μὲν τῆς τῶν θηρίων ὠμότητος, τὸ δὲ τῆς
but the-one indeed of-the of-the beasts cruelty the-other but of-the
τῶν θεῶν δυνάμεως ἔργον ἐστίν.
of-the gods power work is

ἔπειτ᾽ εἰ καὶ τυγχάνομεν ἀμφότεροι ψευδῆ λέγοντες, ἀλλ᾽ 33
then if even we-happen both false-things saying but
οὖν ἐγὼ μὲν κέχρημαι τούτοις τοῖς λόγοις, οἵσπερ χρὴ
anyway I indeed have-used these the arguments which-very it-is-necessary
τοὺς ἐπαινοῦντας, σὺ δ᾽ οἷς προσήκει τοὺς λοιδοροῦντας·
the-ones praising you but which befits the-ones reviling
ὥστ᾽ οὐ μόνον τῆς ἀληθείας αὐτῶν ἀλλὰ καὶ τῆς ἰδέας
so-that not only of-the truth of-them but also of-the form
ὅλης, δι᾽ ἧς εὐλογεῖν δεῖ, φαίνει διημαρτηκώς.
whole through which to-eulogize it-is-necessary you-appear having-missed
χωρὶς δὲ τούτων εἰ δεῖ τῶν σῶν ἀπαλλαγέντα τὸν 34
apart and of-these if it-is-necessary from-the yours having-got-free the
ἐμὸν λόγον ἐξετάζειν, οὐδεὶς ἂν αὐτῷ δικαίως ἐπιπλήξειεν.
my speech to-examine no-one — it justly would-rebuke
εἰ μὲν γὰρ ἄλλος τις ἦν φανερὸς ὁ ταῦτα πράξας,
if indeed for another anyone was evident the-one these-things having-done
ἀγώ φημι γεγενῆσθαι δι᾽ ἐκεῖνον, ὁμολογῶ λίαν εἶναι
which-I say to-have-arisen through him I-agree too to-be
τολμηρός, εἰ περὶ ὧν ἅπαντες ἐπίστανται,
bold if about what all know
περὶ τούτων μεταπείθειν ἐπιχειρῶ. νῦν δ᾽ ἐν κοινῷ 35
about these to-persuade-otherwise I-attempt now but in common
τῶν πραγμάτων ὄντων καὶ δοξάσαι δέον περὶ
the affairs being and to-form-opinion it-being-necessary about
αὐτῶν, τίν᾽ ἄν τις τῶν ἐκεῖ καθεστώτων ἐκ τῶν
them whom — anyone of-the-things there established from the
εἰκότων σκοπούμενος αἰτιώτερον εἶναι νομίσειεν ἢ τὸν
probabilities considering more-responsible to-be would-think than the-one
ἐκ Ποσειδῶνος μὲν γεγονότα, πρὸς δὲ μητρὸς ἀπὸ Διὸς
from Poseidon indeed born on but mother's-side from Zeus
ὄντα, μεγίστην δὲ δύναμιν τῶν καθ᾽ αὐτὸν κτησάμενον
being greatest and power of-the-ones in his-time having-acquired

καὶ παρὰ τοῖς ἄλλοις ὀνομαστότατον γεγενημένον; οὐ γὰρ
and among the others most-renowned having-become not for
δή που τοὺς ἁπάντων τούτων ἀπολελειμμένους προσήκει
indeed surely the-ones from-all these left-behind it-befits
μᾶλλον ἢ ’κεῖνον τηλικούτων ἀγαθῶν εὑρετὰς γενέσθαι.
more than him of-such goods discoverers to-become
36 καὶ μὲν δὴ καὶ τοῖς χρόνοις ῥᾳδίως ἄν τις τοὺς
and indeed now also by-the chronology easily — anyone the
λόγους τοὺς τῶν λοιδορούντων ἐκεῖνον ψευδεῖς ὄντας
speeches the of-the-ones reviling him false being
ἐπιδείξειεν. οἱ γὰρ αὐτοὶ τῆς τε Βουσίριδος ξενοφονίας
could-show the same for of-the both of-Busiris stranger-killing
κατηγοροῦσι καί φασιν αὐτὸν ὑφ’ Ἡρακλέους ἀποθανεῖν·
accuse and say him by Heracles to-have-died
37 ὁμολογεῖται δὲ παρὰ πάντων τῶν λογοποιῶν Περσέως
it-is-agreed and by all the chroniclers of-Perseus
τοῦ Διὸς καὶ Δανάης Ἡρακλέα μὲν εἶναι τέτταρσι
the son-of-Zeus and Danae Heracles indeed to-be by-four
γενεαῖς νεώτερον, Βούσιριν δὲ πλέον ἢ διακοσίοις ἔτεσι
generations younger Busiris but by-more than two-hundred years
πρεσβύτερον. καίτοι τὸν βουλόμενον ἀπολύσασθαι τὴν
older and-yet the-one wishing to-clear-away the
ὑπὲρ ἐκείνου διαβολὴν πῶς οὐκ ἄτοπόν ἐστι ταύτην τὴν
about him slander how not strange is-it this the
πίστιν παραλιπεῖν, τὴν οὕτως ἐναργῆ καὶ τηλικαύτην
proof to-omit the so plain and so-great
δύναμιν ἔχουσαν;
power having
38 ἀλλὰ γὰρ οὐδέν σοι τῆς ἀληθείας ἐμέλησεν, ἀλλὰ ταῖς
but for nothing to-you of-the truth mattered but the
τῶν ποιητῶν βλασφημίαις ἐπηκολούθησας, οἳ δεινότερα
of-the poets slanders you-followed who more-terrible-things

μὲν πεποιηκότας καὶ πεπονθότας ἀποφαίνουσι τοὺς ἐκ
indeed having-done and having-suffered show the-ones from
τῶν ἀθανάτων γεγονότας ἢ τοὺς ἐκ τῶν ἀνθρώπων
the immortals born than the-ones from the men
τῶν ἀνοσιωτάτων, τοιούτους δὲ λόγους περὶ αὐτῶν τῶν
the most-impious such and words about themselves the
θεῶν εἰρήκασιν, οἵους οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν εἰπεῖν
gods they-have-spoken as no-one — about the enemies to-say
τολμήσειεν· οὐ γὰρ μόνον κλοπὰς καὶ μοιχείας καὶ παρ᾽
would-dare not for only thefts and adulteries and among
ἀνθρώποις θητείας αὐτοῖς ὠνείδισαν ἀλλὰ καὶ παίδων
men servitudes to-them they-imputed but also of-children
βρώσεις καὶ πατέρων ἐκτομὰς καὶ μητέρων δεσμοὺς καὶ
eatings and of-fathers castrations and of-mothers bindings and
πολλὰς ἄλλας ἀνομίας κατ᾽ αὐτῶν ἐλογοποίησαν.
many other lawlessnesses against them they-made-up
ὑπὲρ ὧν τὴν μὲν ἀξίαν δίκην οὐκ ἔδοσαν, οὐ μὴν 39
for which the indeed worthy penalty not they-paid not however
ἀτιμώρητοί γε διέφυγον, ἀλλ᾽ οἱ μὲν αὐτῶν ἀλῆται
unpunished at-least they-escaped but the-ones indeed of-them wanderers
καὶ τῶν καθ᾽ ἡμέραν ἐνδεεῖς κατέστησαν, οἱ δ᾽
and of-the by day in-want became the-others but
ἐτυφλώθησαν, ἄλλος δὲ φεύγων τὴν πατρίδα καὶ τοῖς
were-blinded another and fleeing the fatherland and with-the
οἰκειοτάτοις πολεμῶν ἅπαντα τὸν χρόνον διετέλεσεν,
nearest-kin warring all the time continued
Ὀρφεὺς δ᾽ ὁ μάλιστα τούτων τῶν λόγων ἁψάμενος,
Orpheus but the-one most of-these the stories having-touched
διασπασθεὶς τὸν βίον ἐτελεύτησεν· ὥστ᾽ ἢν σωφρονῶμεν,
torn-apart the life ended so-that if we-be-sensible

40 οὐ μιμησόμεθα τοὺς λόγους τοὺς ἐκείνων, οὐδὲ περὶ μὲν
not we-shall-imitate the stories the their nor about indeed
τῆς πρὸς ἀλλήλους κακηγορίας νομοθετήσομεν, τῆς δ' εἰς
the against one-another slander we-shall-legislate the but against
τοὺς θεοὺς παρρησίας ὀλιγωρήσομεν, ἀλλὰ φυλαξόμεθα
the gods license we-shall-neglect but we-shall-guard-against
καὶ νομιοῦμεν ὁμοίως ἀσεβεῖν τούς τε λέγοντας τὰ
and we-shall-think alike to-be-impious the-ones both saying the
τοιαῦτα καὶ τοὺς πιστεύοντας αὐτοῖς.
such-things and the-ones believing them
41 ἐγὼ μὲν οὖν οὐχ ὅπως τοὺς θεούς, ἀλλ' οὐδὲ τοὺς
I indeed then not only the gods but not-even the-ones
ἐξ ἐκείνων γεγονότας οὐδεμιᾶς ἡγοῦμαι κακίας μετασχεῖν,
from them born of-any I-think vice to-have-shared
ἀλλ' αὐτούς τε πάσας ἔχοντας τὰς ἀρετὰς φῦναι
but themselves both all having the virtues to-have-been-born
καὶ τοῖς ἄλλοις τῶν καλλίστων ἐπιτηδευμάτων ἡγεμόνας
and to-the others of-the finest pursuits leaders
καὶ διδασκάλους γεγενῆσθαι. καὶ γὰρ ἄλογον, εἰ τῆς μὲν
and teachers to-have-been and for unreasonable if of-the indeed
ἡμετέρας εὐπαιδίας εἰς τοὺς θεοὺς τὴν αἰτίαν ἀναφέρομεν,
our good-children to the gods the cause we-refer
τῆς δὲ σφετέρας αὐτῶν μηδὲν αὐτοὺς φροντίζειν νομίζοιμεν.
of-the but their own nothing them to-care we-should-think
42 ἀλλ' εἰ μὲν ἡμῶν τις τῆς τῶν ἀνθρώπων φύσεως
but if indeed of-us anyone of-the of-the men nature
κατασταίη κύριος, οὐδ' ἂν τοὺς οἰκέτας ἐάσειεν εἶναι
should-become master not-even — the servants would-allow to-be
πονηρούς· ἐκείνων δὲ καταγιγνώσκομεν, ὡς καὶ τοὺς ἐξ
wicked of-them but we-condemn that also the-ones from
αὐτῶν γεγονότας περιεῖδον οὕτως ἀσεβεῖς καὶ παρανόμους
them born they-overlooked so impious and lawless

ὄντας. καὶ σὺ μὲν οἴει καὶ τοὺς μηδὲν προσήκοντας,
being and you indeed think also the-ones nothing related
ἤν σοι πλησιάσωσι, βελτίους ποιήσειν, τοὺς δὲ θεοὺς
if you they-approach better to-be-going-to-make the but gods
οὐδεμίαν ἡγεῖ τῆς τῶν παίδων ἀρετῆς ἔχειν ἐπιμέλειαν.
no you-think of-the of-the children virtue to-have care
καίτοι κατὰ τὸν σὸν λόγον δυοῖν τοῖν αἰσχίστοιν 43
and-yet according-to the your argument of-the-two the most-shameful
οὐ διαμαρτάνουσιν· εἰ μὲν γὰρ μηδὲν δέονται χρηστοὺς
not they-miss if indeed for not they-wish good
αὐτοὺς εἶναι, χείρους εἰσὶ τῶν ἀνθρώπων τὴν διάνοιαν,
them to-be worse they-are than-the men in-the mind
εἰ δὲ βούλονται μέν, ἀποροῦσι δ' ὅπως ποιήσωσιν, ἐλάττω
if but they-wish indeed are-at-a-loss but how they-may-make less
τῶν σοφιστῶν τὴν δύναμιν ἔχουσιν.
than-the sophists the power they-have
πολλῶν δ' ἐνόντων εἰπεῖν, ἐξ ὧν ἄν τις καὶ τὸν ἔπαινον 44
many and being-possible to-say from which — anyone both the praise
καὶ τὴν ἀπολογίαν μηκύνειεν, οὐχ ἡγοῦμαι δεῖν
and the defense could-lengthen not I-think to-be-necessary
μακρολογεῖν· οὐ γὰρ ἐπίδειξιν τοῖς ἄλλοις ποιούμενος ἀλλ'
to-speak-at-length not for display to-the others making but
ὑποδεῖξαί σοι βουλόμενος, ὡς χρὴ τούτων ἑκάτερον
to-indicate to-you wishing how it-is-necessary of-these each
ποιεῖν, διείλεγμαι περὶ αὐτῶν, ἐπεὶ τόν γε λόγον, ὃν σὺ
to-make I-have-discoursed about them since the at-least speech which you
γέγραφας, οὐκ ἀπολογίαν ὑπὲρ Βουσίριδος ἀλλ' ὁμολογίαν
have-written not defense for Busiris but admission
τῶν ἐπικαλουμένων δικαίως ἄν τις εἶναι νομίσειεν.
of-the-things charged justly — anyone to-be would-think

45 οὐ γὰρ ἀπολύεις αὐτὸν τῶν αἰτιῶν ἀλλ᾽ ἀποφαίνεις, ὡς
not for you-acquit him of-the charges but you-show that
καὶ τῶν ἄλλων τινὲς ταὐτὰ πεποιήκασι, ῥᾳθυμοτάτην
also of-the others some the-same-things have-done most-easy
τοῖς ἁμαρτάνουσιν εὑρίσκων καταφυγήν. εἰ γὰρ τῶν
for-the-ones erring finding refuge if for of-the
μὲν ἀδικημάτων μὴ ῥᾴδιον εὑρεῖν, ὃ μήπω τυγχάνει
indeed crimes not easy to-find which not-yet happens
γεγενημένον, τοὺς δ᾽ ἐφ᾽ ἑκάστοις αὐτῶν ἁλισκομένους
having-occurred the-ones but in each of-them convicted
μηδὲν ἡγοίμεθα δεινὸν ποιεῖν, ὅταν ἕτεροι ταὐτὰ
nothing we-should-think terrible to-do whenever others the-same-things
φαίνωνται διαπεπραγμένοι, πῶς οὐκ ἂν καὶ τὰς ἀπολογίας
appear having-done how not — also the defenses
ἅπασι ῥᾳδίας ποιήσαιμεν, καὶ τοῖς βουλομένοις εἶναι
for-all easy we-would-make and for-the-ones wishing to-be
πονηροῖς πολλὴν ἐξουσίαν παρασκευάσαιμεν;
wicked much license we-would-provide

46 μάλιστα δ᾽ ἂν κατίδοις τὴν εὐήθειαν τῶν εἰρημένων ἐπὶ
most and — you-would-perceive the silliness of-the things-said on
σαυτοῦ θεωρήσας. ἐνθυμήθητι γάρ· εἰ μεγάλων καὶ δεινῶν
yourself having-examined consider for if great and terrible
αἰτιῶν περὶ σὲ γεγονυιῶν τοῦτόν τις τὸν τρόπον σοι
charges against you having-arisen this anyone the way for-you
συνείποι, πῶς ἂν διατεθείης; ἐγὼ μὲν γὰρ οἶδ᾽ ὅτι μᾶλλον
should-plead how — would-you-be-disposed I indeed for know that more
ἂν αὐτὸν μισήσειας ἢ τοὺς κατηγοροῦντας. καίτοι πῶς οὐκ
— him you-would-hate than the-ones accusing and-yet how not
αἰσχρὸν τοιαύτας ὑπὲρ τῶν ἄλλων ποιεῖσθαι τὰς ἀπολογίας,
shameful such for the others to-make the defenses
ἐφ᾽ αἷς ὑπὲρ σαυτοῦ λεγομέναις μάλιστ᾽ ἂν ὀργισθείης;
at which for yourself spoken most — you-would-be-angered

σκέψαι δὲ κἀκεῖνο καὶ διέλθε πρὸς αὐτόν. εἴ τις τῶν 47
consider and that-too and go-through to yourself if anyone of-the-ones
σοι συνόντων ἐπαρθείη ποιεῖν, ἃ σὺ τυγχάνεις
with-you associating should-be-incited to-do what you happen
εὐλογῶν, πῶς οὐκ ἂν ἀθλιώτατος εἴη καὶ τῶν νῦν
eulogizing how not — most-wretched would-be-be both of-the-ones now
ὄντων καὶ τῶν πώποτε γεγενημένων; ἆρ' οὖν χρὴ
being and of-the-ones ever having-been then therefore it-is-necessary
τοιούτους λόγους γράφειν, οἷς τοῦτο προσέσται μέγιστον
such speeches to-write to-which this will-belong greatest
ἀγαθόν, ἢν μηδένα πεῖσαι τῶν ἀκουσάντων δυνηθῶσιν;
good if no-one to-persuade of-the hearers they-be-able
ἀλλὰ γὰρ ἴσως ἂν εἴποις, ὡς οὐδὲ σὲ τοῦτο παρέλαθεν, 48
but for perhaps — you-might-say that not-even you this escaped
ἀλλ' ἠβουλήθης τοῖς φιλοσόφοις παράδειγμα καταλιπεῖν,
but you-wished for-the philosophers example to-leave
ὡς χρὴ περὶ τῶν αἰσχρῶν αἰτιῶν καὶ δυσχερῶν
how it-is-necessary about the shameful charges and difficult
πραγμάτων ποιεῖσθαι τὰς ἀπολογίας. ἀλλ' εἰ καὶ πρότερον
affairs to-make the defenses but if even before
ἠγνόεις, οἶμαί σοι νῦν γεγενῆσθαι φανερόν, ὅτι πολὺ
you-were-ignorant I-think to-you now to-have-become evident that much
θᾶττον ἄν τις σωθείη μηδὲν φθεγξάμενος ἢ τοῦτον
sooner — anyone would-be-saved nothing having-uttered than this
τὸν τρόπον ἀπολογησάμενος.
the way having-defended
καὶ μὲν δὴ καὶ τοῦτο δῆλον, ὅτι τῆς φιλοσοφίας ἐπικήρως 49
and indeed now also this clear that the philosophy perilously
διακειμένης καὶ φθονουμένης διὰ τοὺς τοιούτους τῶν
being-situated and envied because-of the such of-the
λόγων ἔτι μᾶλλον αὐτὴν μισήσουσιν. ἢν οὖν ἐμοὶ πείθῃ,
speeches still more it they-will-hate if then me you-obey

μάλιστα μὲν οὐ ποιήσει τοῦ λοιποῦ πονηρὰς ὑποθέσεις,
most indeed not you-will-make for-the future wicked subjects
εἰ δὲ μή, τοιαῦτα ζητήσεις λέγειν, ἐξ ὧν μήτ᾽ αὐτὸς
if but not such-things you-will-seek to-say from which neither yourself
χείρων εἶναι δόξεις μήτε τοὺς μιμουμένους λυμανεῖ
worse to-be you-will-seem nor the-ones imitating you-will-ruin
μήτε τὴν περὶ τοὺς λόγους παίδευσιν διαβαλεῖς.
nor the about the speeches education you-will-slander
50 καὶ μὴ θαυμάσῃς, εἰ νεώτερος ὢν καὶ μηδέν σοι
and not wonder if younger being and nothing to-you
προσήκων οὕτω προχείρως ἐπιχειρῶ σε νουθετεῖν· ἡγοῦμαι
related so readily I-attempt you to-admonish I-think
γὰρ οὐ τῶν πρεσβυτάτων οὐδὲ τῶν οἰκειοτάτων ἀλλὰ
for not of-the oldest nor of-the nearest-kin but
τῶν πλεῖστ᾽ εἰδότων καὶ βουλομένων ὠφελεῖν ἔργον
of-the-ones most knowing and wishing to-benefit task
εἶναι περὶ τῶν τοιούτων συμβουλεύειν.
to-be about the such to-advise

ISOCRATES

ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ

To Nicocles

Isocrates offers Nicocles a gift of advice, finer than garments and gold, since kings lack the education that private men receive from want, the laws, and frank friends, and their courtiers only flatter. The task of a king is to end a city's misfortune, preserve its prosperity, and make it great, so he must train his mind as an athlete his body, associate with the wisest, and hear the poets and the sophists. He must love the people and rule them graciously, honor the best and protect the rest, make wise laws and quick judgments, govern the city like his father's house, and be magnificent in useful things. He must honor the gods by being just, guard himself with his friends' virtue and his citizens' goodwill, keep his word more than others keep their oaths, remove fear from the innocent, and be warlike in preparation but peaceful in seeking nothing unjust.

οἱ μὲν εἰωθότες, ὦ Νικόκλεις, τοῖς βασιλεῦσιν ὑμῖν 1
the-ones indeed accustomed O Nicocles to-the kings to-you
ἐσθῆτας ἄγειν ἢ χαλκὸν ἢ χρυσὸν εἰργασμένον ἢ τῶν ἄλλων
garments to-bring or bronze or gold worked or of-the other
τι τῶν τοιούτων κτημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς
anything of-the such possessions of-which themselves indeed lacking
εἰσιν ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἔδοξαν εἶναί μοι καταφανεῖς
are you but are-rich too seemed to-be to-me evident
οὐ δόσιν ἀλλ' ἐμπορίαν ποιούμενοι, καὶ πολὺ τεχνικώτερον
not a-gift but trade making and much more-artfully
αὐτὰ πωλοῦντες τῶν ὁμολογούντων καπηλεύειν·
them selling than-the-ones admitting to-be-retailers
ἡγησάμην δ' ἂν γενέσθαι ταύτην καλλίστην δωρεὰν καὶ 2
I-thought and — to-be this finest gift and
χρησιμωτάτην καὶ μάλιστα πρέπουσαν ἐμοί τε δοῦναι καὶ
most-useful and most fitting for-me both to-give and
σοὶ λαβεῖν, εἰ δυνηθείην ὁρίσαι ποίων ἐπιτηδευμάτων
for-you to-receive if I-could-be-able to-define what-sort-of pursuits

ὀρεγόμενος καὶ τίνων ἀπεχόμενος ἄριστ᾽ ἂν καὶ τὴν
reaching-for and from-which abstaining best — both the
πόλιν καὶ τὴν βασιλείαν διοικοίης.
city and the kingship you-would-administer
τοὺς μὲν γὰρ ἰδιώτας ἐστὶ πολλὰ τὰ παιδεύοντα,
the indeed for private-men are many the-things educating
μάλιστα μὲν τὸ μὴ τρυφᾶν ἀλλ᾽ ἀναγκάζεσθαι περὶ
most indeed the not to-live-in-luxury but to-be-compelled about
τοῦ βίου καθ᾽ ἑκάστην τὴν ἡμέραν βουλεύεσθαι,
the livelihood by each the day to-deliberate
3 ἔπειθ᾽ οἱ νόμοι καθ᾽ οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν,
then the laws under which each living-as-citizens happen
ἔτι δ᾽ ἡ παρρησία καὶ τὸ φανερῶς ἐξεῖναι τοῖς τε
further and the frankness and the openly to-be-allowed the both
φίλοις ἐπιπλῆξαι καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων
friends to-rebuke and the enemies to-attack the of-one-another
ἁμαρτίαις· πρὸς δὲ τούτοις καὶ τῶν ποιητῶν τινες τῶν
errors besides and these also of-the poets some of-the-ones
προγεγενημένων ὑποθήκας ὡς χρὴ ζῆν καταλελοίπασιν·
before precepts how it-is-necessary to-live have-left
ὥστ᾽ ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίγνεσθαι.
so-that from all these likely them better to-become
4 τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον, ἀλλ᾽ οὓς
for-the but tyrants nothing belongs such but whom
ἔδει παιδεύεσθαι μᾶλλον τῶν ἄλλων, ἐπειδὰν εἰς
it-was-necessary to-be-educated more than-the others when into
τὴν ἀρχὴν καταστῶσιν, ἀνουθέτητοι διατελοῦσιν· οἱ μὲν
the rule they-come unadmonished they-continue the indeed
γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ πλησιάζουσιν,
for most of-the men them not approach
οἱ δὲ συνόντες πρὸς χάριν ὁμιλοῦσι. καὶ γάρ τοι
the-ones but associating for favor consort and for indeed

κύριοι γιγνόμενοι καὶ χρημάτων πλείστων καὶ πραγμάτων
masters becoming both of-money most and of-affairs
μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύταις ταῖς
greatest because-of the not well to-use these the
ἀφορμαῖς πεποιήκασιν ὥστε πολλοὺς ἀμφισβητεῖν, πότερόν
resources they-have-made that many to-dispute whether
ἐστιν ἄξιον ἑλέσθαι τὸν βίον τὸν τῶν ἰδιωτευόντων μὲν
it-is worthy to-choose the life the of-the-ones living-privately indeed
ἐπιεικῶς δὲ πραττόντων, ἢ τὸν τῶν τυραννευόντων.
reasonably but faring or the of-the-ones ruling-as-tyrants
ὅταν μὲν γὰρ ἀποβλέψωσιν εἰς τὰς τιμὰς καὶ τοὺς 5
whenever indeed for they-look at the honors and the
πλούτους καὶ τὰς δυναστείας, ἰσοθέους ἅπαντες νομίζουσι
riches and the dominions godlike all think
τοὺς ἐν ταῖς μοναρχίαις ὄντας· ἐπειδὰν δ' ἐνθυμηθῶσι
the-ones in the monarchies being when but they-consider
τοὺς φόβους καὶ τοὺς κινδύνους, καὶ διεξιόντες ὁρῶσι τοὺς
the fears and the dangers and going-through see the-ones
μὲν ὑφ' ὧν ἥκιστα χρὴν διεφθαρμένους, τοὺς δ'
indeed by whom least it-should-have destroyed the-ones but
εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠναγκασμένους, τοῖς
against the nearest-kin to-err compelled to-the-ones
δ' ἀμφότερα ταῦτα συμβεβηκότα, πάλιν ὁπωσοῦν ζῆν
but both these having-happened again in-any-way-whatever to-live
ἡγοῦνται λυσιτελεῖν μᾶλλον ἢ μετὰ τοιούτων συμφορῶν
they-think to-profit more than with such misfortunes
ἁπάσης τῆς Ἀσίας βασιλεύειν.
of-all — Asia to-be-king
ταύτης δὲ τῆς ἀνωμαλίας καὶ τῆς ταραχῆς αἴτιόν ἐστιν, 6
of-this and the inconsistency and the confusion cause is
ὅτι τὴν βασιλείαν ὥσπερ ἱερωσύνην παντὸς ἀνδρὸς εἶναι
that the kingship as a-priesthood of-every man to-be

νομίζουσιν, ὃ τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν
they-think which of-the human affairs greatest
ἐστι καὶ πλείστης προνοίας δεόμενον.
is and of-most forethought needing
καθ' ἑκάστην μὲν οὖν τὴν πρᾶξιν, ἐξ ὧν ἄν τις
by each indeed then the action from which — anyone
μάλιστα δύναιτο κατὰ τρόπον διοικεῖν καὶ τὰ μὲν
most could-be-able according-to manner to-administer and the indeed
ἀγαθὰ διαφυλάττειν τὰς δὲ συμφορὰς διαφεύγειν, τῶν
goods to-preserve the but misfortunes to-escape of-the-ones
ἀεὶ παρόντων ἔργον ἐστὶ συμβουλεύειν· καθ' ὅλων δὲ
always present task it-is to-advise about whole but
τῶν ἐπιτηδευμάτων, ὧν χρὴ στοχάζεσθαι καὶ περὶ
the pursuits which it-is-necessary to-aim-at and about
ἃ δεῖ διατρίβειν, ἐγὼ πειράσομαι διελθεῖν.
what it-is-necessary to-spend-time I shall-try to-go-through
7 εἰ μὲν οὖν ἔσται τὸ δῶρον ἐξεργασθὲν ἄξιον
whether indeed then will-be the gift worked-out worthy
τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν·
of-the subject hard from the beginning to-see
πολλὰ γὰρ καὶ τῶν μετὰ μέτρου ποιημάτων καὶ τῶν
many for both of-the with meter poems and of-the
καταλογάδην συγγραμμάτων ἔτι μὲν ἐν ταῖς διανοίαις
in-prose writings still indeed in the minds
ὄντα τῶν συντιθέντων μεγάλας τὰς προσδοκίας παρέσχεν,
being of-the composers great the expectations provided
ἐπιτελεσθέντα δὲ καὶ τοῖς ἄλλοις ἐπιδειχθέντα πολὺ
completed but and to-the others shown much
καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβεν.
inferior the reputation than-the hope got

οὐ μὴν ἀλλὰ τό γ' ἐπιχείρημα καλῶς ἔχει, τὸ ζητεῖν 8
not however but the at-least undertaking well is the to-seek
τὰ παραλελειμμένα καὶ νομοθετεῖν ταῖς μοναρχίαις·
the-things omitted and to-legislate for-the monarchies
οἱ μὲν γὰρ τοὺς ἰδιώτας παιδεύοντες ἐκείνους μόνον
the-ones indeed for the private-men educating those only
ὠφελοῦσιν· εἰ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ'
benefit if but anyone the-ones ruling of-the multitude to
ἀρετὴν προτρέψειεν, ἀμφοτέρους ἂν ὀνήσειε, καὶ τοὺς
virtue should-urge both — would-benefit both the-ones
τὰς δυναστείας ἔχοντας καὶ τοὺς ὑπ' αὐτοῖς ὄντας·
the dominions holding and the-ones under them being
τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς
for-the-ones indeed for — the rules safer for-the-others
δὲ τὰς πολιτείας πραοτέρας ποιήσειεν.
but the constitutions gentler he-would-make
πρῶτον μὲν οὖν σκεπτέον τί τῶν βασιλευόντων 9
first indeed then must-be-considered what of-the-ones reigning
ἔργον ἐστίν· ἂν γὰρ ἐν κεφαλαίοις τὴν δύναμιν ὅλου
task is if for in headings the power of-whole
τοῦ πράγματος καλῶς περιλάβωμεν, ἐνταῦθ' ἀποβλέποντες
the matter well we-grasp there looking
ἄμεινον καὶ περὶ τῶν μερῶν ἐροῦμεν. οἶμαι δὴ πάντας
better also about the parts we-shall-speak I-think then all
ἂν ὁμολογῆσαι προσήκειν αὐτοῖς πόλιν δυστυχοῦσαν
— to-agree to-befit them a-city being-unfortunate
παῦσαι καὶ καλῶς πράττουσαν διαφυλάξαι καὶ μεγάλην
to-stop and well faring to-preserve and great
ἐκ μικρᾶς ποιῆσαι· τὰ γὰρ ἄλλα τὰ συμπίπτοντα
from small to-make the for other-things the happening
κατὰ τὴν ἡμέραν ἑκάστην τούτων ἕνεκα πρακτέον ἐστί.
by the day each of-these for-the-sake must-be-done is

10 καὶ μὴν ἐκεῖνό γε φανερόν, ὅτι δεῖ τοὺς ταῦτα
and truly that at-least evident that it-is-necessary the-ones these-things
δυνησομένους καὶ περὶ τηλικούτων βουλευομένους μὴ ῥᾳθυμεῖν
going-to-be-able and about such-great deliberating not to-be-idle
μηδ᾽ ἀμελεῖν, ἀλλὰ σκοπεῖν ὅπως φρονιμώτερον διακείσονται
nor to-neglect but to-consider how more-wisely they-will-be-disposed
τῶν ἄλλων· δέδεικται γὰρ ὅτι τοιαύτας τὰς βασιλείας
than-the others it-has-been-shown for that such the kingships
ἕξουσιν, οἵας ἂν τὰς ἑαυτῶν γνώμας παρασκευάσωσιν.
they-will-have as — the their minds they-prepare
11 ὥστε οὐδενὶ τῶν ἀσκητῶν οὕτω προσήκει τὸ σῶμα
so-that to-none of-the athletes so befits the body
γυμνάζειν, ὡς τοῖς βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν·
to-exercise as to-the kings the soul the their-own
ἅπασαι γὰρ αἱ πανηγύρεις οὐδὲν μέρος τιθέασιν τούτων τῶν
all for the festivals no part set of-these the
ἄθλων, περὶ ὧν ὑμεῖς καθ᾽ ἑκάστην τὴν ἡμέραν ἀγωνίζεσθε.
prizes about which you by each the day contend
ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως
which considering it-is-necessary to-turn the mind how
ὅσον περ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον
by-as-much very in-the honors than-the others you-excel by-so-much
καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις.
also in-the virtues than-them you-will-differ
12 καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις
and not think the care in indeed the other
πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς καὶ
affairs useful to-be toward but the better us and
φρονιμωτέρους γίγνεσθαι μηδεμίαν δύναμιν ἔχειν· μηδὲ
wiser to-become no power to-have nor
καταγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς περὶ
condemn-of the men such misfortune that toward

μὲν τὰ θηρία τέχνας εὑρήκαμεν αἷς αὐτῶν τὰς ψυχὰς
indeed the beasts arts we-have-found with-which their the souls
ἡμεροῦμεν καὶ πλείονος ἀξίας ποιοῦμεν, ἡμᾶς δ᾽ αὐτοὺς
we-tame and of-more worth make us but ourselves
οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν. ἀλλ᾽ ὡς καὶ τῆς
in-nothing — toward virtue we-could-benefit but as both of-the
παιδεύσεως καὶ τῆς ἐπιμελείας μάλιστα δυναμένης τὴν
education and of-the care most able the
ἡμετέραν φύσιν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην,
our nature to-benefit so be-disposed in-the mind
καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε καὶ 13
and the both present-ones the wisest associate-with and
τῶν ἄλλων οὓς ἂν δύνῃ μεταπέμπου, καὶ μήτε τῶν
of-the others whom — you-can send-for and neither of-the
ποιητῶν τῶν εὐδοκιμούντων μήτε τῶν σοφιστῶν μηδενὸς
poets the well-reputed nor of-the sophists any
οἴου δεῖν ἀπείρως ἔχειν, ἀλλὰ τῶν μὲν ἀκροατὴς
think to-be-necessary inexperienced to-be but of-the-ones indeed hearer
γίγνου τῶν δὲ μαθητής, καὶ παρασκεύαζε σεαυτὸν
become of-the-others but pupil and prepare yourself
τῶν μὲν ἐλαττόνων κριτὴν τῶν δὲ μειζόνων ἀγωνιστήν·
of-the indeed smaller-things judge of-the but greater competitor
διὰ γὰρ τούτων τῶν γυμνασίων τάχιστ᾽ ἂν γένοιο
through for these the exercises most-quickly — you-would-become
τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι τὸν ὀρθῶς
such as we-proposed to-be-necessary to-be the-one rightly
βασιλεύσοντα καὶ τὴν πόλιν ὡς χρὴ διοικήσοντα.
going-to-reign and the city as it-is-necessary going-to-administer
μάλιστα δ᾽ ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης,
most and — yourself by yourself you-would-be-urged

14 εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν
if terrible you-should-think the worse the better to-rule
καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν·
and the more-foolish the wiser to-command
ὅσῳ γὰρ ἂν ἐρρωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν
by-as-much for — more-strongly the of-the others folly
ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν αὑτοῦ διάνοιαν ἀσκήσεις.
you-scorn by-so-much more the your-own mind you-will-train
15 ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλλοντάς τι
to-begin indeed then from-here it-is-necessary the-ones going anything
τῶν δεόντων ποιήσειν, πρὸς δὲ τούτοις φιλάνθρωπον
of-the needful-things to-do besides and these humane
εἶναι δεῖ καὶ φιλόπολιν· οὔτε γὰρ ἵππων οὔτε κυνῶν
to-be it-is-necessary and patriotic neither for horses nor dogs
οὔτ' ἄλλου πράγματος οὐδενὸς οἷόν τε καλῶς ἄρχειν, ἂν
nor other matter any possible — well to-rule if
μή τις χαίρῃ τούτοις ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν
not anyone delight in-these of-which himself it-is-necessary to-take the
ἐπιμέλειαν. μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς
care let-it-concern you the multitude and above all
ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν,
make-it graciously them to-rule
16 γιγνώσκων ὅτι καὶ τῶν ὀλιγαρχιῶν καὶ τῶν ἄλλων
knowing that both of-the oligarchies and of-the other
πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵ τινες ἂν
constitutions these longest time last which ever —
ἄριστα τὸ πλῆθος θεραπεύωσιν. καλῶς δὲ δημαγωγήσεις,
best the multitude court well and you-will-lead-the-people
ἐὰν μήθ' ὑβρίζειν τὸν ὄχλον ἐᾷς μήθ' ὑβριζόμενον
if neither to-outrage the crowd you-allow nor being-outraged
περιορᾷς, ἀλλὰ σκοπῇς ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς
overlook but consider how the best indeed the honors

ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν ἀδικήσονται· ταῦτα γὰρ
will-have the but others in-nothing will-be-wronged these for
στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστίν.
elements first and greatest of-good constitution are
τῶν προσταγμάτων καὶ τῶν ἐπιτηδευμάτων κίνει καὶ 17
of-the commands and of-the practices move and
μετατίθει τὰ μὴ καλῶς καθεστῶτα, καὶ μάλιστα μὲν
change the-things not well established and most indeed
εὑρετὴς γίγνου τῶν βελτίστων, εἰ δὲ μή, μιμοῦ τὰ
inventor become of-the best if but not imitate the-things
παρὰ τοῖς ἄλλοις ὀρθῶς ἔχοντα. ζήτει νόμους τὸ μὲν
among the others rightly being seek laws the indeed
σύμπαν δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς
all just and advantageous and with-them- -selves
ὁμολογουμένους, πρὸς δὲ τούτοις οἵ τινες τὰς μὲν
agreeing besides and these which ever the indeed
ἀμφισβητήσεις ὡς ἐλαχίστας τὰς δὲ διαλύσεις ὡς οἷόν
disputes as fewest the but settlements as possible
τε ταχίστας τοῖς πολίταις ποιοῦσι· ταῦτα γὰρ ἅπαντα
— quickest for-the citizens make these for all
προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις.
to-belong it-is-necessary to-the well established laws
τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, τὰς δὲ 18
the indeed occupations for-them make profitable the but
πραγματείας ἐπιζημίους, ἵνα τὰς μὲν φεύγωσι, πρὸς
litigations costly so-that the-ones indeed they-may-flee toward
δὲ τὰς προθυμότερον ἔχωσιν. τὰς κρίσεις ποιοῦ περὶ
but the-others more-eagerly they-may-be the judgments make about
ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι, μὴ πρὸς χάριν
what — toward one-another they-dispute not for favor
μηδ' ἐναντίας ἀλλήλαις, ἀλλ' ἀεὶ ταὐτὰ περὶ τῶν
nor contrary to-one-another but always the-same-things about the

αὐτῶν γίγνωσκε· καὶ γὰρ πρέπει καὶ συμφέρει τὴν
same-things judge and for it-befits and it-is-advantageous the
τῶν βασιλέων γνώμην ἀκινήτως ἔχειν περὶ τῶν δικαίων,
of-the kings mind unmovably to-be about the just-things
ὥσπερ τοὺς νόμους τοὺς καλῶς κειμένους. οἴκει τὴν
as the laws the well established administer the
πόλιν ὁμοίως ὥσπερ τὸν πατρῷον οἶκον,
city alike as the paternal house
19 ταῖς μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, ταῖς δὲ
in-the indeed equipments splendidly and royally in-the but
πράξεσιν ἀκριβῶς, ἵν' εὐδοκιμῇς ἅμα καὶ
transactions exactly so-that you-may-be-well-thought-of at-the-same-time and
διαρκῇς. τὴν μεγαλοπρέπειαν ἐπιδείκνυσο μηδ' ἐν μιᾷ
may-suffice the magnificence display not-even in one
τῶν πολυτελειῶν τῶν εὐθὺς ἀφανιζομένων, ἀλλ' ἔν τε
of-the extravagances of-the at-once vanishing but in both
τοῖς προειρημένοις καὶ τῷ κάλλει τῶν κτημάτων καὶ ταῖς
the said-before and in-the beauty of-the possessions and in-the
τῶν φίλων εὐεργεσίαις· τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων
of-the friends benefactions the for such of-the expenditures
αὐτῷ τε σοὶ παραμενεῖ, καὶ τοῖς ἐπιγιγνομένοις
for-yourself both you will-remain and to-the-ones coming-after
πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις.
of-more worth than-the-things spent you-will-leave
20 τὰ μὲν πρὸς τοὺς θεοὺς ποίει μὲν ὡς οἱ πρόγονοι
the-things indeed toward the gods do indeed as the ancestors
κατέδειξαν, ἡγοῦ δὲ θῦμα τοῦτο κάλλιστον εἶναι καὶ
showed think but sacrifice this finest to-be and
θεραπείαν μεγίστην, ἂν ὡς βέλτιστον καὶ δικαιότατον
service greatest if as best and most-just
σαυτὸν παρέχῃς· μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους ἢ
yourself you-show more for hope the such than

τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας πράξειν τι παρὰ
the-ones victims many throwing-down to-be-going-to-get something from
τῶν θεῶν ἀγαθόν. τίμα ταῖς μὲν ἀρχαῖς τῶν φίλων τοὺς
the gods good honor with-the indeed offices of-the friends the
οἰκειοτάτους, ταῖς δ' ἀληθείαις αὐταῖς τοὺς εὐνουστάτους.
nearest with-the but truths themselves the best-disposed
φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε 21
guard safest think of-the body to-be the both
τῶν φίλων ἀρετὴν καὶ τὴν τῶν πολιτῶν εὔνοιαν καὶ
of-the friends virtue and the of-the citizens goodwill and
τὴν σαυτοῦ φρόνησιν· διὰ γὰρ τούτων καὶ κτᾶσθαι καὶ
the your-own wisdom through for these both to-acquire and
σώζειν τὰς τυραννίδας μάλιστ' ἄν τις δύναιτο. κήδου τῶν
to-preserve the tyrannies most — anyone could-be-able care-for the
οἴκων τῶν πολιτικῶν, καὶ νόμιζε καὶ τοὺς δαπανῶντας
houses the of-the-citizens and think both the-ones spending
ἀπὸ τῶν σῶν ἀναλίσκειν καὶ τοὺς ἐργαζομένους τὰ σὰ
from the yours to-be-spending and the-ones working the yours
πλείω ποιεῖν· ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν
more to-make all for the-things of-the-ones inhabiting the
πόλιν οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστί.
city own of-the-ones well reigning are
διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου 22
through all the time the truth so appear
προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους
preferring that more-trustworthy to-be the your words
μᾶλλον ἢ τοὺς τῶν ἄλλων ὅρκους. ἅπασι μὲν τοῖς
rather than the of-the others oaths to-all indeed the
ξένοις ἀσφαλῆ τὴν πόλιν πάρεχε καὶ πρὸς τὰ συμβόλαια
strangers safe the city provide and toward the contracts
νόμιμον, περὶ πλείστου δὲ ποιοῦ τῶν ἀφικνουμένων
lawful about most and make of-the-ones arriving

μὴ τοὺς σοὶ δωρεὰς ἄγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ
not the-ones to-you gifts bringing but the-ones from you
λαμβάνειν ἀξιοῦντας· τιμῶν γὰρ τοὺς τοιούτους μᾶλλον
to-receive thinking-fit honoring for the such more
παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις.
among the others you-will-be-well-thought-of
23 τοὺς πολλοὺς φόβους ἐξαίρει τῶν πολιτῶν, καὶ μὴ βούλου
the many fears remove of-the citizens and not wish
περιδεεῖς εἶναι τοὺς μηδὲν ἀδικοῦντας· ὅπως γὰρ ἂν
fearful to-be the-ones nothing wronging as for —
τοὺς ἄλλους πρὸς σαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς
the others toward yourself you-dispose so also you toward
ἐκείνους ἕξεις. ποίει μὲν μηδὲν μετ᾽ ὀργῆς, δόκει δὲ τοῖς
them will-be do indeed nothing with anger seem but to-the
ἄλλοις, ὅταν σοι καιρὸς ᾖ. δεινὸς μὲν φαίνου τῷ
others whenever for-you occasion be terrible indeed appear by-the
μηδέν σε λανθάνειν τῶν γιγνομένων, πρᾶος δὲ τῷ
nothing you to-escape-notice of-the-things happening gentle but by-the
τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων.
the punishments smaller to-make than-the errors
24 ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι μηδὲ τῷ σφόδρα
ruler-like to-be wish not by-harshness nor by-the very
κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας
to-punish but by-the all to-be-overcome by-the your mind
καὶ νομίζειν ὑπὲρ τῆς αὑτῶν σωτηρίας ἄμεινον ἑαυτῶν
and to-think for the their safety better than-themselves
σὲ βουλεύεσθαι. πολεμικὸς μὲν ἴσθι ταῖς ἐπιστήμαις καὶ
you to-deliberate warlike indeed be in-the knowledges and
ταῖς παρασκευαῖς, εἰρηνικὸς δὲ τῷ μηδὲν παρὰ τὸ
in-the preparations peaceful but by-the nothing contrary-to the

δίκαιον πλεονεκτεῖν. οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς
just to-get-the-better so associate of-the cities with the
ἥττους, ὥσπερ ἂν τὰς κρείττους πρὸς ἑαυτὸν ἀξιώσειας.
weaker as — the stronger toward yourself you-would-think-fit

II · PRECEPTS AND THE GIFT DEFENDED

A king should contend only for what profits him, choose friends worthy of his nature, distrust flatterers, give the wise frank speech, and punish slanderers like wrongdoers. He must rule himself before others, seek honor in virtue, set an example of temperance, prefer good fame to great wealth for his children, and join dignity with urbanity. Since his body is mortal, he should leave an immortal memory of his soul. Isocrates then defends his precepts: many are familiar, but in such discourses one should look for the best collection, not novelty. Men praise counsel and seek pleasure; they praise Hesiod, Theognis, and Phocylides and prefer comedy, so writers who wish to please choose myth and contest, as Homer and the first tragedians did. A king should not judge by pleasure but test his advisers by their usefulness, and Nicocles should urge others to bring him such gifts.

φιλονείκει μὴ περὶ πάντων, ἀλλὰ περὶ ὧν ἂν κρατήσαντί 25
contend not about all-things but about which — having-prevailed
σοι μέλλῃ συνοίσειν. φαύλους ἡγοῦ μὴ τοὺς συμφερόντως
for-you is-going to-be-advantageous base think not the-ones advantageously
ἡττωμένους, ἀλλὰ τοὺς μετὰ βλάβης περιγιγνομένους.
defeated but the-ones with harm prevailing
μεγαλόφρονας νόμιζε μὴ τοὺς μείζω περιβαλλομένους
great-minded think not the-ones greater-things embracing
ὧν οἷοί τ' εἰσὶ κατασχεῖν, ἀλλὰ τοὺς καλῶν μὲν
than-which able — are to-hold but the-ones fine-things indeed
ἐφιεμένους, ἐξεργάζεσθαι δὲ δυναμένους οἷς ἂν ἐπιχειρῶσιν.
aiming-at to-accomplish but able what — they-attempt

26 ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς
emulate not the-ones greatest rule having-acquired but the-ones
ἄριστα τῇ παρούσῃ χρησαμένους, καὶ νόμιζε τελέως
best the present having-used and think perfectly
εὐδαιμονήσειν οὐκ ἐὰν πάντων ἀνθρώπων μετὰ φόβων
to-be-going-to-be-happy not if all men with fears
καὶ κινδύνων καὶ κακίας ἄρξῃς, ἀλλ' ἂν τοιοῦτος ὢν οἷον
and dangers and wickedness you-rule but if such being as
χρὴ καὶ πράττων ὥσπερ ἐν τῷ παρόντι μετρίων
it-is-necessary and faring as in the present moderate-things
ἐπιθυμῇς καὶ μηδενὸς τούτων ἀτυχῇς.
you-desire and of-none of-these you-fail

27 φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς
friends acquire not all the-ones wishing but the-ones
τῆς σῆς φύσεως ἀξίους ὄντας, μηδὲ μεθ' ὧν ἥδιστα
of-the your nature worthy being nor with whom most-pleasantly
συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις.
you-will-spend-time but with whom best the city you-will-administer
ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς ὅτι
exact make the scrutinies of-the associates knowing that
πάντες οἱ μή σοι πλησιάσαντες ὅμοιόν σε τοῖς
all the-ones not you having-approached like you to-the-ones
χρωμένοις εἶναι νομιοῦσιν. τοιούτους ἐφίστη τοῖς πράγμασι
consorting to-be will-think such set-over the affairs
τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὡς αὐτὸς τὰς αἰτίας
the not through you happening as yourself the blame
ἕξων ὧν ἂν ἐκεῖνοι πράξωσιν.
going-to-have of-what — they do

28 πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ τι ἂν λέγῃς ἢ ποιῇς
faithful think not the-ones everything what ever — you-say or do
ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.
praising but the-ones the errors censuring

δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἂν
give frankness to-the-ones well thinking so-that about what —
ἀμφιγνοῇς, ἔχῃς τοὺς συνδοκιμάσοντας. διόρα καὶ τοὺς
you-are-in-doubt you-may-have the-ones going-to-help-judge distinguish both the-ones
τέχνῃ κολακεύοντας καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας,
with-art flattering and the-ones with goodwill serving
ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. ἄκουε τοὺς
so-that not more the wicked than-the good may-have listen-to the
λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνωρίζειν ἅμα τούς
words the about one-another and try to-recognize at-once the
τε λέγοντας, ὁποῖοί τινές εἰσι, καὶ περὶ ὧν ἂν λέγωσιν.
both speakers of-what-sort some are and about what — they-speak
ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας, 29
with-the same punish penalties the-ones falsely slandering
αἷσπερ τοὺς ἐξαμαρτάνοντας.
with-which-very the-ones erring
ἄρχε σαυτοῦ μηδὲν ἧττον ἢ τῶν ἄλλων, καὶ τοῦθ' ἡγοῦ
rule yourself nothing less than the others and this think
βασιλικώτατον, ἂν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ
most-kingly if to-no you-be-slave of-the pleasures but
κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν. μηδεμίαν
you-master the desires more than the citizens no
συνουσίαν εἰκῇ προσδέχου μηδ' ἀλογίστως, ἀλλ' ἐπ'
association at-random accept nor unreasoningly but in
ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σαυτὸν χαίρειν, ἐξ ὧν
those the pastimes accustom yourself to-delight from which
αὐτός τ' ἐπιδώσεις καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις.
yourself both you-will-advance and to-the others better to-be you-will-seem
μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις ἃ καὶ τοῖς 30
not appear being-ambitious for the such-things which even for-the
κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα
bad to-accomplish possible is but in virtue great

φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστιν. νόμιζε
thinking of-which no part to-the wicked belongs think
τῶν τιμῶν ἀληθεστάτας εἶναι μὴ τὰς ἐν τῷ φανερῷ
of-the honors truest to-be not the-ones in the open
μετὰ δέους γιγνομένας, ἀλλ᾽ ὅταν αὐτοὶ παρ᾽ αὑτοῖς
with fear happening but whenever themselves by themselves
ὄντες μᾶλλόν σου τὴν γνώμην ἢ τὴν τύχην θαυμάζωσιν.
being more your the judgment than the fortune they-admire
λάνθανε μέν, ἢν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν,
escape-notice indeed if in any to-you it-happen of-the base-things to-delight
ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων.
show but about the greatest-things being-serious

31 μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν τοὺς δὲ βασιλεῖς
not the indeed others think-fit decently to-live the but kings
ἀτάκτως, ἀλλὰ τὴν σαυτοῦ σωφροσύνην παράδειγμα τοῖς
disorderly but the your-own temperance example to-the
ἄλλοις καθίστη, γιγνώσκων ὅτι τὸ τῆς πόλεως ὅλης
others set knowing that the of-the city whole
ἦθος ὁμοιοῦται τοῖς ἄρχουσιν. σημεῖον ἔστω σοι τοῦ
character becomes-like the rulers sign let-it-be to-you of-the
καλῶς βασιλεύειν, ἂν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους
well to-reign if the-ones ruled you-see more-prosperous
καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέλειαν.
and more-temperate becoming through the your care

32 περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς
about more make reputation fine than wealth great to-the
παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητός, ἡ δ᾽ ἀθάνατος,
children to-leave the-one indeed for mortal the-other but immortal
καὶ δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων
and with-reputation indeed money acquirable reputation but with-money
οὐκ ὠνητή, καὶ τὰ μὲν καὶ φαύλοις παραγίγνεται, τὴν
not purchasable and the-ones indeed even to-base-men comes the-other

δ᾽ οὐχ οἷόν τε ἀλλ᾽ ἢ τοὺς διενεγκόντας κτήσασθαι.
but not possible — but than the-ones excelling to-acquire
τρύφα μὲν ἐν ταῖς ἐσθῆσι καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις,
be-luxurious indeed in the garments and in-the about the body adornments
καρτέρει δὲ ὡς χρὴ τοὺς βασιλεύοντας ἐν τοῖς ἄλλοις
be-hardy but as it-is-necessary the-ones reigning in the other
ἐπιτηδεύμασιν, ἵν᾽ οἱ μὲν ὁρῶντες διὰ τὴν ὄψιν
pursuits so-that the-ones indeed seeing through the appearance
ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ δὲ συνόντες διὰ
worthy you of-the rule to-be may-think the-ones but associating through
τὴν τῆς ψυχῆς ῥώμην τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσιν.
the of-the soul strength the same as-they mind may-have
ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ καὶ τὰς 33
examine the words always the your-own and the
πράξεις, ἵν᾽ ὡς ἐλαχίστοις ἁμαρτήμασι περιπίπτῃς.
actions so-that as fewest errors you-may-fall-into
κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν, ἐπειδὴ
best indeed of-the height of-the occasions to-hit since
δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ καὶ μὴ
but hard-to-discern they-are to-fall-short choose and not
πλεονάζειν· αἱ γὰρ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις
to-exceed the for moderations more in the deficiencies
ἢ ταῖς ὑπερβολαῖς ἔνεισιν.
than the excesses are-present
ἀστεῖος εἶναι πειρῶ καὶ σεμνός· τὸ μὲν γὰρ τῇ τυραννίδι 34
urbane to-be try and dignified the-one indeed for to-the tyranny
πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει. χαλεπώτατον
befits the-other but toward the associations suits hardest
δὲ τοῦτο πάντων ἐστὶ τῶν προσταγμάτων· εὑρήσεις γὰρ
and this of-all is of-the precepts you-will-find for
ὡς ἐπὶ τὸ πολὺ τοὺς μὲν σεμνυνομένους ψυχροὺς ὄντας,
as for the most-part the-ones indeed being-dignified cold being

τοὺς δὲ βουλομένους ἀστείους εἶναι ταπεινοὺς φαινομένους.
the-ones but wishing urbane to-be abject appearing
δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέραις ταῖς ἰδέαις ταύταις,
it-is-necessary but to-use indeed both the forms these
τὴν δὲ συμφορὰν τὴν ἑκατέρᾳ προσοῦσαν διαφεύγειν.
the but misfortune the to-each belonging to-escape
35 ὅ τι ἂν ἀκριβῶσαι βουληθῇς ὧν ἐπίστασθαι προσήκει
what ever — to-master-exactly you-wish of-what to-know befits
τοὺς βασιλεῖς, ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ
the kings by-experience pursue and by-philosophy the indeed for
φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει, τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων
to-philosophize the ways to-you will-show the but on very the deeds
γυμνάζεσθαι δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει.
to-be-exercised to-be-able you to-use the affairs will-make
θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ τοῖς
observe the-things happening and the-things befalling both the
ἰδιώταις καὶ τοῖς τυράννοις· ἂν γὰρ τὰ παρεληλυθότα
private-men and the tyrants if for the-things past
μνημονεύῃς, ἄμεινον περὶ τῶν μελλόντων βουλεύσει.
you-remember better about the-things future you-will-deliberate
36 δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν τινας ἐθέλειν ἀποθνήσκειν,
terrible think of-the indeed private-men some to-be-willing to-die
ἵνα τελευτήσαντες ἐπαινεθῶσι, τοὺς δὲ βασιλεῖς μὴ
so-that having-died they-may-be-praised the but kings not
τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν
to-dare to-use the pursuits these from which
ζῶντες εὐδοκιμήσουσιν. βούλου τὰς εἰκόνας τῆς ἀρετῆς
living they-will-be-well-thought-of wish the images of-the virtue
ὑπόμνημα μᾶλλον ἢ τοῦ σώματος καταλιπεῖν. μάλιστα
memorial rather than of-the body to-leave most
μὲν πειρῶ τὴν ἀσφάλειαν καὶ σαυτῷ καὶ τῇ πόλει
indeed try the safety both for-yourself and for-the city

διαφυλάττειν· ἐὰν δ' ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς
to-preserve if but you-are-compelled to-run-risk choose nobly
τεθνάναι μᾶλλον ἢ ζῆν αἰσχρῶς.
to-be-dead rather than to-live shamefully
ἐν πᾶσι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας, καὶ φρόντιζε 37
in all the deeds remember the kingship and take-thought
ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης πράξεις. μὴ
how nothing unworthy of-the honor this you-will-do not
περιίδῃς τὴν σαυτοῦ φύσιν ἅπασαν ἅμα διαλυθεῖσαν·
overlook the your-own nature all at-once dissolved
ἀλλ' ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, πειρῶ τῆς ψυχῆς
but since mortal body you-got try of-the soul
ἀθάνατον τὴν μνήμην καταλιπεῖν.
immortal the memory to-leave
μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα 38
practice about fine pursuits to-speak so-that
συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. ἅττ' ἄν
you-may-be-accustomed like-things to-the things-said to-think whatever —
σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις
to-you reasoning appear best these by-the deeds
ἐπιτέλει. ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις.
accomplish of-whom the reputations you-emulate imitate the actions
ἃ τοῖς αὑτοῦ παισὶν ἂν συμβουλεύσειας, τούτοις αὐτὸς
what to-the your-own children — you-would-advise these yourself
ἐμμένειν ἀξίου. χρῶ τοῖς εἰρημένοις ἢ ζήτει βελτίω τούτων.
to-abide-by think-fit use the things-said or seek better than-these
σοφοὺς νόμιζε μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, 39
wise think not the-ones precisely about small-things wrangling
ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας, μηδὲ τοὺς
but the-ones well about the greatest-things speaking nor the-ones
τοῖς μὲν ἄλλοις εὐδαιμονίαν ὑπισχνουμένους, αὐτοὺς δ'
to-the indeed others happiness promising themselves but

ἐν πολλαῖς ἀπορίαις ὄντας, ἀλλὰ τοὺς μέτρια μὲν
in many perplexities being but the-ones moderate-things indeed
περὶ αὑτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι καὶ
about themselves saying to-deal but both with-the affairs and
τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ διαταραττομένους ἐν
with-the men able and not being-thrown-into-confusion in
ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ καλῶς καὶ μετρίως καὶ
the of-the life changes but nobly and moderately both
τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέρειν ἐπισταμένους.
the misfortunes and the good-fortunes to-bear knowing-how
40 καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν λεγομένων ἐστὶν
and not wonder if many of-the-things said are
ἃ καὶ σὺ γιγνώσκεις· οὐδὲ γὰρ ἐμὲ τοῦτο παρέλαθεν,
which also you know not-even for me this escaped
ἀλλ᾽ ἠπιστάμην ὅτι τοσούτων ὄντων τὸ πλῆθος καὶ
but I-knew that so-many being the multitude both
τῶν ἄλλων καὶ τῶν ἀρχόντων οἱ μέν τι τούτων
of-the others and of-the rulers the-ones indeed something of-these
εἰρήκασιν, οἱ δ᾽ ἀκηκόασιν, οἱ δ᾽ ἑτέρους ποιοῦντας
have-said the-ones but have-heard the-ones but others doing
ἑωράκασιν, οἱ δ᾽ αὐτοὶ τυγχάνουσιν ἐπιτηδεύοντες.
have-seen the-ones but themselves happen practicing
41 ἀλλὰ γὰρ οὐκ ἐν τοῖς λόγοις χρὴ τούτοις ζητεῖν
but for not in the speeches it-is-necessary these to-seek
τὰς καινότητας, ἐν οἷς οὔτε παράδοξον οὔτ᾽ ἄπιστον οὔτ᾽
the novelties in which neither paradoxical nor incredible nor
ἔξω τῶν νομιζομένων οὐδὲν ἔξεστιν εἰπεῖν, ἀλλ᾽ ἡγεῖσθαι
outside the accepted-things anything it-is-possible to-say but to-think
τοῦτον χαριέστατον, ὃς ἂν τῶν διεσπαρμένων ἐν ταῖς
this most-accomplished who — of-the-things scattered in the

τῶν ἄλλων διανοίαις ἀθροῖσαι τὰ πλεῖστα δυνηθῇ καὶ
of-the others minds to-gather the most can and
φράσαι κάλλιστα περὶ αὐτῶν.
to-express most-finely about them
ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύοντα καὶ 42
since that-too to-me evident was that the advising-ones both
τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα μὲν
of-the poems and of-the writings most-useful indeed
ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γ' αὐτῶν ἀκούουσιν,
all think not however most-gladly at-least them they-hear
ἀλλὰ πεπόνθασιν ὅπερ πρὸς τοὺς νουθετοῦντας· καὶ
but they-have-felt which-very toward the admonishers also
γὰρ ἐκείνους ἐπαινοῦσι μέν, πλησιάζειν δὲ βούλονται τοῖς
for those they-praise indeed to-approach but they-wish the-ones
συνεξαμαρτάνουσιν ἀλλ' οὐ τοῖς ἀποτρέπουσιν.
erring-with-them but not the-ones dissuading
σημεῖον δ' ἄν τις ποιήσαιτο τὴν Ἡσιόδου καὶ Θεόγνιδος 43
sign and — anyone could-make the of-Hesiod and of-Theognis
καὶ Φωκυλίδου ποίησιν· καὶ γὰρ τούτους φασὶ μὲν
and of-Phocylides poetry also for these they-say indeed
ἀρίστους γεγενῆσθαι συμβούλους τῷ βίῳ τῷ τῶν
best to-have-been advisers for-the life the of-the
ἀνθρώπων, ταῦτα δὲ λέγοντες αἱροῦνται συνδιατρίβειν
men these-things but saying they-choose to-spend-time-with
ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον ἢ ταῖς ἐκείνων ὑποθήκαις.
the of-one-another follies rather than the their precepts
ἔτι δ' εἴ τις ἐκλέξειε τῶν προεχόντων ποιητῶν τὰς 44
further and if anyone should-pick-out of-the eminent poets the
καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστ' ἐσπούδασαν,
so-called maxims on which they most were-serious
ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν· ἥδιον γὰρ
alike — also toward these they-would-be-disposed more-gladly for

ἂν κωμῳδίας τῆς φαυλοτάτης ἢ τῶν οὕτω τεχνικῶς
— to-comedy the basest than to-the-things so artfully
πεποιημένων ἀκούσαιεν.
made they-would-listen
καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν;
and why is-it-necessary by one each saying to-spend-time
45 ὅλως γὰρ εἰ ᾽θέλοιμεν σκοπεῖν τὰς φύσεις τὰς τῶν
wholly for if we-should-wish to-consider the natures the of-the
ἀνθρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν οὔτε τῶν σιτίων
men we-shall-find the many of-them neither the foods
χαίροντας τοῖς ὑγιεινοτάτοις οὔτε τῶν ἐπιτηδευμάτων τοῖς
delighting-in the most-wholesome nor of-the pursuits the
καλλίστοις οὔτε τῶν πραγμάτων τοῖς βελτίστοις οὔτε τῶν
finest nor of-the affairs the best nor of-the
θρεμμάτων τοῖς ὠφελιμωτάτοις, ἀλλὰ παντάπασιν ἐναντίας
livestock the most-useful but altogether contrary
τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, καὶ δοκοῦντας
to-the advantageous the pleasures having and thinking
καρτερικοὺς καὶ φιλοπόνους εἶναι τοὺς τῶν δεόντων
hardy and industrious to-be the-ones of-the needful-things
τι ποιοῦντας·
anything doing
46 ὥστε πῶς ἄν τις τοῖς τοιούτοις ἢ παραινῶν ἢ διδάσκων
so-that how — anyone the such either exhorting or teaching
ἢ χρήσιμόν τι λέγων ἀρέσειεν; οἳ πρὸς τοῖς εἰρημένοις
or useful anything saying could-please who besides the things-said
φθονοῦσι μὲν τοῖς εὖ φρονοῦσιν, ἁπλοῦς δ' ἡγοῦνται
envy indeed the-ones well thinking simple and think
τοὺς νοῦν οὐκ ἔχοντας, οὕτω δὲ τὰς ἀληθείας τῶν
the-ones sense not having so and the truths of-the
πραγμάτων φεύγουσιν, ὥστ' οὐδὲ τὰ σφέτερ' αὐτῶν
affairs they-flee that not-even the-things their own

ἴσασιν, ἀλλὰ λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι,
they-know but they-are-grieved indeed about the private-things reasoning
χαίρουσι δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι, βούλοιντο
they-delight but about the-things others' conversing would-wish
δ' ἂν τῷ σώματι κακοπαθῆσαι μᾶλλον ἢ τῇ ψυχῇ
and — with-the body to-suffer-hardship rather than with-the soul
πονῆσαι καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων.
to-toil and to-consider about some of-the necessary-things
εὕροι δ' ἄν τις αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους 47
could-find and — anyone them in indeed the toward one-another
συνουσίαις ἢ λοιδοροῦντας ἢ λοιδορουμένους, ἐν δὲ ταῖς
associations either reviling or being-reviled in but the
ἐρημίαις οὐ βουλευομένους ἀλλ' εὐχομένους. λέγω δ' οὐ καθ'
solitudes not deliberating but praying I-speak but not against
ἁπάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων.
all but against the-ones liable to-the things-said being
ἐκεῖνο δ' οὖν φανερόν, ὅτι δεῖ τοὺς βουλομένους 48
that but anyway evident that it-is-necessary the-ones wishing
ἢ ποιεῖν ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς
either to-compose or to-write something pleasing to-the many
μὴ τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν, ἀλλὰ τοὺς
not the most-useful of-the speeches to-seek but the-ones
μυθωδεστάτους· ἀκούοντες μὲν γὰρ τῶν τοιούτων χαίρουσι,
most-fabulous hearing indeed for the such they-delight
θεωροῦντες δὲ τοὺς ἀγῶνας καὶ τὰς ἁμίλλας. διὸ
watching but the contests and the rivalries wherefore
καὶ τὴν Ὁμήρου ποίησιν καὶ τοὺς πρώτους εὑρόντας
also the of-Homer poetry and the-ones first having-invented
τραγῳδίαν ἄξιον θαυμάζειν, ὅτι κατιδόντες τὴν φύσιν
tragedy worthy to-admire that having-perceived the nature

τὴν τῶν ἀνθρώπων ἀμφοτέραις ταῖς ἰδέαις ταύταις
the of-the men both the forms these
κατεχρήσαντο πρὸς τὴν ποίησιν.
they-used-to-the-full for the poetry
49 ὁ μὲν γὰρ τοὺς ἀγῶνας καὶ τοὺς πολέμους τοὺς
the-one indeed for the contests and the wars the
τῶν ἡμιθέων ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους
of-the demigods told-as-myth the-others but the myths
εἰς ἀγῶνας καὶ πράξεις κατέστησαν, ὥστε μὴ μόνον
into contests and actions turned so-that not only
ἀκουστοὺς ἡμῖν ἀλλὰ καὶ θεατοὺς γενέσθαι. τοιούτων οὖν
heard by-us but also seen to-become such then
παραδειγμάτων ὑπαρχόντων, δέδεικται τοῖς ἐπιθυμοῦσι
examples existing it-has-been-shown to-the-ones desiring
τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν
the hearers to-beguile that from-the indeed admonishing
καὶ συμβουλεύειν ἀφεκτέον, τὰ δὲ τοιαῦτα λεκτέον
and advising must-abstain the-things but such must-be-said
οἷς ὁρῶσι τοὺς ὄχλους μάλιστα χαίροντας.
in-which they-see the crowds most delighting
50 ταῦτα δὲ διῆλθον ἡγούμενος σὲ δεῖν, τὸν οὐχ
these-things and I-went-through thinking you to-be-necessary the-one not
ἕνα τῶν πολλῶν ἀλλὰ πολλῶν βασιλεύοντα, μὴ τὴν
one of-the many but many reigning not the
αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ σπουδαῖα τῶν
same mind to-have as-the others nor the serious-things of-the
πραγμάτων μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων
affairs nor the-ones well thinking of-the men
ταῖς ἡδοναῖς κρίνειν, ἀλλ᾽ ἐπὶ τῶν πράξεων τῶν χρησίμων
by-the pleasures to-judge but on the actions the useful
αὐτοὺς δοκιμάζειν,
them to-test

ἄλλως τ᾽ ἐπειδὴ περὶ μὲν τῶν γυμνασίων τῶν τῆς ψυχῆς 51
otherwise both since about indeed the exercises the of-the soul
ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες, καί φασιν
dispute the-ones about the philosophy being and say
οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων οἱ δὲ διὰ τῶν
the-ones indeed through the eristic arguments the-ones but through the
πολιτικῶν οἱ δὲ δι᾽ ἄλλων τινῶν φρονιμωτέρους
political the-ones but through other some wiser
ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας, ἐκεῖνο δὲ πάντες
to-be-going-to-be the-ones them approaching that but all
ὁμολογοῦσιν, ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον ἐξ
agree that it-is-necessary the-one well educated from
ἑκάστου τούτων φαίνεσθαι βουλεύεσθαι δυνάμενον.
each of-these to-appear to-deliberate able
χρὴ τοίνυν ἀφέμενον τῶν ἀμφισβητουμένων ἐπὶ 52
it-is-necessary then having-let-go the-things disputed on
τοῦ συνομολογουμένου λαμβάνειν αὐτῶν τὸν ἔλεγχον, καὶ
the agreed to-take of-them the test and
μάλιστα μὲν ἐπὶ τῶν καιρῶν θεωρεῖν συμβουλεύοντας,
most indeed on the occasions to-watch advising
εἰ δὲ μή, καὶ καθ᾽ ὅλων τῶν πραγμάτων λέγοντας. καὶ
if but not also about whole the affairs speaking and
τοὺς μὲν μηδὲν γιγνώσκοντας τῶν δεόντων ἀποδοκίμαζε
the-ones indeed nothing knowing of-the needful-things reject
(δῆλον γὰρ ὡς ὁ μηδὲν ὢν αὐτὸς χρήσιμος οὐδ᾽
evident for that the-one nothing being himself useful not-even
ἂν ἄλλον φρόνιμον ποιήσειεν),
— another wise could-make
τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους ὁρᾶν πλέον τι 53
the-ones but sense having and able to-see more something
τῶν ἄλλων περὶ πολλοῦ ποιοῦ καὶ θεράπευε, γιγνώσκων
than-the others about much make and court knowing

ὅτι σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον
that adviser good most-useful and most-princely
ἁπάντων τῶν κτημάτων ἐστίν. ἡγοῦ δὲ τούτους μεγίστην
of-all the possessions is think and these greatest
σοι ποιεῖν τὴν βασιλείαν, οἵ τινες ἂν τὴν διάνοιαν τὴν
for-you to-make the kingship who ever — the mind the
σὴν πλεῖστ' ὠφελῆσαι δυνηθῶσιν.
your most to-benefit can

54 ἐγὼ μὲν οὖν ἅ τε γιγνώσκω παρῄνεκα, καὶ τιμῶ
I indeed then what both I-know I-have-advised and honor
σε τούτοις οἷς τυγχάνω δυνάμενος· βούλου δὲ καὶ τοὺς
you with-these which I-happen being-able wish and also the
ἄλλους, ὅπερ εἶπον ἀρχόμενος, μὴ τὰς εἰθισμένας ἄγειν
others as-very I-said beginning not the customary to-bring
σοι δωρεάς, ἃς ὑμεῖς πολὺ πλείονος ἀγοράζετε παρὰ
to-you gifts which you much of-more buy from
τῶν διδόντων ἢ παρὰ τῶν πωλούντων, ἀλλὰ τοιαύτας,
the givers than from the sellers but such
αἷς κἂν σφόδρα χρῇ καὶ μηδεμίαν ἡμέραν διαλείπῃς, οὐ
which even-if very you-use and no day you-omit not
κατατρίψεις, ἀλλὰ μείζους καὶ πλείονος ἀξίας ποιήσεις.
you-will-wear-out but greater and of-more worth you-will-make

ISOCRATES

ΝΙΚΟΚΛΗΣ Η ΚΥΠΡΙΟΙ

Nicocles

Some men blame those who study eloquence as seeking gain rather than virtue, but they do not blame wealth or strength for the men who misuse them. Speech, Nicocles says, is the cause of our greatest goods: by persuading one another we left the life of beasts, founded cities, made laws, and found the arts; it praises the good, convicts the bad, and is the image of a good soul. He accepts every useful discourse, but values most those on conduct and constitutions. Isocrates told the king how to rule; Nicocles will tell his subjects how to obey. First he will show that monarchy is the best constitution, then that he holds his rule justly, then what he asks of them. Monarchy gives each his due by merit, sees men's natures, attends to one mind, and its rulers learn by long experience.

εἰσί τινες οἳ δυσκόλως ἔχουσι πρὸς τοὺς λόγους καὶ 1
there-are some who ill-disposed are toward the speeches and
διαμέμφονται τοὺς φιλοσοφοῦντας, καί φασιν αὐτοὺς
find-fault-with the-ones philosophizing and say them
οὐκ ἀρετῆς ἀλλὰ πλεονεξίας ἕνεκα ποιεῖσθαι τὰς
not of-virtue but of-greed for-the-sake to-make the
τοιαύτας διατριβάς. ἡδέως ἂν οὖν πυθοίμην τῶν οὕτω
such pursuits gladly — then I-would-learn from-the-ones so
διακειμένων, διὰ τί τοὺς μὲν εὖ λέγειν ἐπιθυμοῦντας
disposed for what the-ones indeed well to-speak desiring
ψέγουσι, τοὺς δ' ὀρθῶς πράττειν βουλομένους ἐπαινοῦσιν·
they-blame the-ones but rightly to-act wishing they-praise
εἰ γὰρ αἱ πλεονεξίαι λυποῦσιν αὐτούς, πλείους καὶ μείζους
if for the greeds pain them more and greater
ἐκ τῶν ἔργων ἢ τῶν λόγων εὑρήσομεν γιγνομένας.
from the deeds than the words we-shall-find happening
ἔπειτα κἀκεῖν' ἄτοπον εἰ λέληθεν αὐτούς, ὅτι τὰ περὶ 2
then that-too strange if has-escaped them that the-things toward
τοὺς θεοὺς εὐσεβοῦμεν καὶ τὴν δικαιοσύνην ἀσκοῦμεν καὶ τὰς
the gods we-are-pious and the justice we-practice and the

ἄλλας ἀρετὰς ἐπιτηδεύομεν οὐχ ἵνα τῶν ἄλλων ἔλαττον
other virtues we-pursue not so-that than-the others less
ἔχωμεν, ἀλλ᾽ ὅπως ἂν ὡς μετὰ πλείστων ἀγαθῶν τὸν βίον
we-may-have but so-that — as with most goods the life
διάγωμεν. ὥστ᾽ οὐ κατηγορητέον τῶν πραγμάτων τούτων
we-may-pass so-that not must-be-accused the things these
ἐστί, δι᾽ ὧν ἄν τις μετ᾽ ἀρετῆς πλεονεκτήσειεν, ἀλλὰ
is through which — anyone with virtue could-gain-advantage but
τῶν ἀνθρώπων τῶν περὶ τὰς πράξεις ἐξαμαρτανόντων ἢ
the men the in the actions erring or
τοῖς λόγοις ἐξαπατώντων καὶ μὴ δικαίως χρωμένων αὐτοῖς.
with-the words deceiving and not justly using them
3 θαυμάζω δὲ τῶν ταύτην τὴν γνώμην ἐχόντων, ὅπως οὐ
I-wonder and at-the-ones this the opinion having how not
καὶ τὸν πλοῦτον καὶ τὴν ῥώμην καὶ τὴν ἀνδρίαν κακῶς
also the wealth and the strength and the courage badly
λέγουσιν. εἴπερ γὰρ διὰ τοὺς ἐξαμαρτάνοντας καὶ
they-speak if-indeed for because-of the-ones erring and
τοὺς ψευδομένους πρὸς τοὺς λόγους χαλεπῶς ἔχουσι,
the-ones lying toward the speeches harshly they-are-disposed
προσήκει καὶ τοῖς ἄλλοις ἀγαθοῖς αὐτοὺς ἐπιτιμᾶν·
it-befits also the other goods them to-censure
φανήσονται γάρ τινες καὶ τῶν ταῦτα κεκτημένων
they-will-appear for some also of-the-ones these-things having-acquired
ἐξαμαρτάνοντες καὶ πολλοὺς διὰ τούτων κακῶς ποιοῦντες.
erring and many through these badly treating
4 ἀλλὰ γὰρ οὐ δίκαιον, οὔτ᾽ εἴ τινες τοὺς ἀπαντῶντας
but for not just neither if some the-ones meeting
τύπτουσι, τῆς ῥώμης κατηγορεῖν, οὔτε διὰ τοὺς
strike the strength to-accuse nor because-of the-ones
ἀποκτείνοντας οὓς οὐ δεῖ τὴν ἀνδρίαν λοιδορεῖν,
killing whom not it-is-necessary the courage to-revile

οὔθ' ὅλως τὴν τῶν ἀνθρώπων πονηρίαν ἐπὶ τὰ πράγματα
nor at-all the of-the men wickedness onto the things
μεταφέρειν, ἀλλ' αὐτοὺς ἐκείνους ψέγειν, ὅσοι τοῖς
to-transfer but themselves those to-blame as-many-as the
ἀγαθοῖς κακῶς χρῶνται καὶ τοῖς ὠφελεῖν δυναμένοις,
goods badly use and with-the-things to-benefit able
τούτοις βλάπτειν τοὺς συμπολιτευομένους ἐπιχειροῦσι.
with-these to-harm the fellow-citizens attempt
νῦν δ' ἀμελήσαντες τοῦτον τὸν τρόπον περὶ ἑκάστου 5
now but having-neglected this the way about each
διορίζεσθαι πρὸς ἅπαντας τοὺς λόγους δυσκόλως διάκεινται,
to-distinguish toward all the speeches ill are-disposed
καὶ τοσοῦτον διημαρτήκασιν ὥστ' οὐκ αἴσθονται τοιούτῳ
and so-much they-have-erred that not they-perceive toward-such
πράγματι δυσμενῶς ἔχοντες, ὃ πάντων τῶν ἐνόντων
a-thing hostilely being-disposed which of-all the-things present
ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιόν ἐστι.
in the of-the men nature most goods cause is
τοῖς μὲν γὰρ ἄλλοις οἷς ἔχομεν οὐδὲν τῶν ἄλλων ζῴων
in-the indeed for other-things which we-have in-nothing from-the other animals
διαφέρομεν, ἀλλὰ πολλῶν καὶ τῷ τάχει καὶ τῇ ῥώμῃ
we-differ but than-many both in-the speed and in-the strength
καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν ὄντες·
and in-the other resources inferior we-happen being
ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν ἀλλήλους καὶ δηλοῦν 6
having-been-implanted but in-us the to-persuade one-another and to-make-clear
πρὸς ἡμᾶς αὐτοὺς περὶ ὧν ἂν βουληθῶμεν, οὐ μόνον
to us ourselves about what — we-wish not only
τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν, ἀλλὰ καὶ συνελθόντες
from-the brutishly to-live we-were-freed but also having-come-together
πόλεις ᾠκίσαμεν καὶ νόμους ἐθέμεθα καὶ τέχνας εὕρομεν,
cities we-founded and laws we-laid-down and arts we-discovered

καὶ σχεδὸν ἅπαντα τὰ δι᾽ ἡμῶν μεμηχανημένα
and almost all the-things through us contrived
λόγος ἡμῖν ἐστιν ὁ συγκατασκευάσας.
speech for-us is the-one having-helped-establish
7 οὗτος γὰρ περὶ τῶν δικαίων καὶ τῶν ἀδίκων καὶ τῶν
this for about the just-things and the unjust-things and the
αἰσχρῶν καὶ τῶν καλῶν ἐνομοθέτησεν· ὧν μὴ διαταχθέντων
shameful-things and the fine-things legislated which not having-been-ordained
οὐκ ἂν οἷοί τ᾽ ἦμεν οἰκεῖν μετ᾽ ἀλλήλων. τούτῳ καὶ τοὺς
not — able — we-were to-dwell with one-another by-this both the
κακοὺς ἐξελέγχομεν καὶ τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν. διὰ
bad we-convict and the good we-praise through
τούτου τούς τ᾽ ἀνοήτους παιδεύομεν καὶ τοὺς φρονίμους
this the both foolish we-educate and the wise
δοκιμάζομεν· τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ
we-test the for to-speak as it-is-necessary of-the to-think well
μέγιστον σημεῖον ποιούμεθα, καὶ λόγος ἀληθὴς καὶ νόμιμος
greatest sign we-make and speech true and lawful
καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστιν.
and just of-soul good and faithful image is
8 μετὰ τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα
with this both about the disputable-things we-contend
καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα· ταῖς γὰρ
and about the-things unknown we-inquire the for
πίστεσιν αἷς τοὺς ἄλλους λέγοντες πείθομεν, ταῖς
proofs with-which the others speaking we-persuade the
αὐταῖς ταύταις βουλευόμενοι χρώμεθα, καὶ ῥητορικοὺς μὲν
same these deliberating we-use and rhetorical indeed
καλοῦμεν τοὺς ἐν τῷ πλήθει δυναμένους λέγειν, εὐβούλους
we-call the-ones in the multitude able to-speak well-counseled

δὲ νομίζομεν οἵτινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄριστα περὶ
but we-think whoever — themselves to themselves best about
τῶν πραγμάτων διαλεχθῶσιν.
the affairs reason
εἰ δὲ δεῖ συλλήβδην περὶ τῆς δυνάμεως ταύτης 9
if but it-is-necessary in-sum about the power this
εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρήσομεν
to-speak nothing of-the-things wisely done we-shall-find
ἀλόγως γιγνόμενον, ἀλλὰ καὶ τῶν ἔργων καὶ τῶν
without-speech happening but both of-the deeds and of-the
διανοημάτων ἁπάντων ἡγεμόνα λόγον ὄντα, καὶ μάλιστα
thoughts all leader speech being and most
χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας· ὥστε
using it the-ones most sense having so-that
τοὺς τολμῶντας βλασφημεῖν περὶ τῶν παιδευόντων καὶ
the-ones daring to-blaspheme about the-ones educating and
φιλοσοφούντων ὁμοίως ἄξιον μισεῖν ὥσπερ τοὺς εἰς
philosophizing alike worthy to-hate as the-ones against
τὰ τῶν θεῶν ἐξαμαρτάνοντας.
the-things of-the gods erring
ἐγὼ δ' ἀποδέχομαι μὲν ἅπαντας τοὺς λόγους τοὺς καὶ 10
I and accept indeed all the speeches the-ones even
κατὰ μικρὸν ἡμᾶς ὠφελεῖν δυναμένους, οὐ μὴν ἀλλὰ
in small us to-benefit able not however but
καλλίστους ἡγοῦμαι καὶ βασιλικωτάτους καὶ μάλιστα
finest I-think and most-kingly and most
πρέποντας ἐμοὶ τοὺς περὶ τῶν ἐπιτηδευμάτων καὶ τῶν
fitting for-me the-ones about the pursuits and the
πολιτειῶν παραινοῦντας, καὶ τούτων αὐτῶν ὅσοι
constitutions exhorting and of-these themselves as-many-as
διδάσκουσι τούς τε δυναστεύοντας ὡς δεῖ τῷ
teach the both ruling how it-is-necessary the

πλήθει χρῆσθαι, καὶ τοὺς ἰδιώτας ὡς χρὴ πρὸς τοὺς
multitude to-treat and the private-men how it-is-necessary toward the
ἄρχοντας διακεῖσθαι· διὰ γὰρ τούτων ὁρῶ τὰς πόλεις
rulers to-be-disposed through for these I-see the cities
εὐδαιμονεστάτας καὶ μεγίστας γιγνομένας.
most-prosperous and greatest becoming

11 τὸν μὲν οὖν ἕτερον, ὡς χρὴ τυραννεῖν, Ἰσοκράτους
the indeed then one how one-must to-rule-as-tyrant from-Isocrates
ἠκούσατε, τὸν δ' ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς
you-heard the but next what it-is-necessary to-do the-ones
ἀρχομένους, ἐγὼ πειράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον
ruled I shall-try to-go-through not as him
ὑπερβαλούμενος, ἀλλ' ὡς προσῆκόν μοι περὶ τούτων
going-to-surpass but as it-befitting me about these
μάλιστα διαλεχθῆναι πρὸς ὑμᾶς. εἰ μὲν γὰρ ἐμοῦ μὴ
most to-discourse to you if indeed for me not
δηλώσαντος ἃ βούλομαι ποιεῖν ὑμᾶς διαμάρτοιτε τῆς
having-made-clear what I-wish to-do you you-should-mistake the
ἐμῆς γνώμης, οὐκ ἂν εἰκότως ὑμῖν ὀργιζοίμην· εἰ δὲ
my mind not — reasonably with-you I-would-be-angry if but
προειπόντος ἐμοῦ μηδὲν γίγνοιτο τούτων, δικαίως ἂν
having-said-beforehand me nothing should-happen of-these justly —
ἤδη τοῖς μὴ πειθομένοις μεμφοίμην.
already the-ones not obeying I-would-blame

12 ἡγοῦμαι δ' οὕτως ἂν μάλιστα παρακαλέσαι καὶ προτρέψαι
I-think and so — most to-exhort and to-urge
πρὸς τὸ μνημονεύειν ὑμᾶς τὰ ῥηθέντα καὶ πειθαρχεῖν
toward the to-remember you the-things spoken and to-obey
αὐτοῖς, οὐκ εἰ περὶ τὸ συμβουλεύειν μόνον γενοίμην καὶ
them not if about the advising only I-should-be and
ταῦτ' ἀπαριθμήσας ἀπαλλαγείην, ἀλλ' εἰ προεπιδείξαιμι
these-things having-enumerated should-be-done but if I-should-first-show

πρῶτον μὲν τὴν πολιτείαν τὴν παροῦσαν ὡς ἄξιόν
first indeed the constitution the present that worthy
ἐστιν ἀγαπᾶν οὐ μόνον διὰ τὴν ἀνάγκην, οὐδ'
it-is to-be-content-with not only because-of the necessity nor
ὅτι πάντα τὸν χρόνον μετὰ ταύτης οἰκοῦμεν, ἀλλ' ὅτι
because all the time with this we-live but because
βελτίστη τῶν πολιτειῶν ἐστιν,
best of-the constitutions it-is
ἔπειθ' ὡς ἐγὼ ταύτην ἔχω τὴν ἀρχὴν οὐ παρανόμως 13
then that I this have the rule not unlawfully
οὐδ' ἀλλοτρίαν, ἀλλ' ὁσίως καὶ δικαίως καὶ διὰ τοὺς
nor another's but piously and justly and because-of the
ἐξ ἀρχῆς προγόνους καὶ διὰ τὸν πατέρα καὶ δι'
from beginning ancestors and because-of the father and because-of
ἐμαυτόν. τούτων γὰρ προαποδειχθέντων τίς οὐκ αὐτὸς
myself of-these for shown-first who not himself
αὑτοῦ καταγνώσεται τὴν μεγίστην ζημίαν, ἂν μὴ πειθαρχῇ
himself will-condemn-of the greatest penalty if not he-obey
τοῖς ὑπ' ἐμοῦ συμβουλευθεῖσι καὶ προσταχθεῖσιν;
the-things by me advised and enjoined
περὶ μὲν οὖν τῶν πολιτειῶν (ἐντεῦθεν γὰρ ὑποτιθέμενος 14
about indeed then the constitutions from-here for proposing
ἠρξάμην) οἶμαι πᾶσι δοκεῖν δεινότατον μὲν εἶναι τὸ τῶν
I-began I-think to-all to-seem most-terrible indeed to-be the the
αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς,
same-things to-be-thought-worthy the good and the wicked
δικαιότατον δὲ τὸ διωρίσθαι περὶ τούτων καὶ μὴ
most-just but the to-have-been-distinguished about these and not
τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν
the unlike the like-things to-obtain but both to-fare
καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν ἑκάστους.
and to-be-honored according-to the worth each

15 αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι τὰς ἰσότητας
the indeed then oligarchies and democracies the equalities
τοῖς μετέχουσι τῶν πολιτειῶν ζητοῦσι, καὶ τοῦτ᾽ εὐδοκιμεῖ
for-the-ones sharing in-the constitutions seek and this is-approved
παρ᾽ αὐταῖς, ἢν μηδὲν ἕτερος ἑτέρου δύνηται πλέον
among them if in-nothing one than-another can more
ἔχειν· ὃ τοῖς πονηροῖς συμφέρον ἐστίν· αἱ δὲ μοναρχίαι
to-have which for-the wicked advantageous is the but monarchies
πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ, δεύτερον δὲ τῷ
most indeed assign to-the best second and to-the-one
μετ᾽ ἐκεῖνον, τρίτον δὲ καὶ τέταρτον τοῖς ἄλλοις κατὰ
after him third and also fourth to-the others according-to
τὸν αὐτὸν λόγον. καὶ ταῦτ᾽ εἰ μὴ πανταχοῦ καθέστηκεν,
the same ratio and these-things if not everywhere is-established
ἀλλὰ τό γε βούλημα τῆς πολιτείας τοιοῦτόν ἐστιν.
but the at-least intention of-the constitution such is
16 καὶ μὲν δὴ διορᾶν καὶ τὰς φύσεις τῶν ἀνθρώπων καὶ τὰς
and indeed now to-discern both the natures of-the men and the
πράξεις ἅπαντες ἂν τὰς τυραννίδας μᾶλλον ὁμολογήσαιεν.
actions all — the tyrannies more would-agree
καίτοι τίς οὐκ ἂν δέξαιτο τῶν εὖ φρονούντων τοιαύτης
and-yet who not — would-accept of-the-ones well thinking such
πολιτείας μετέχειν ἐν ᾗ μὴ διαλήσει χρηστὸς ὤν,
constitution to-share in which not he-will-escape-notice good being
μᾶλλον ἢ φέρεσθαι μετὰ τοῦ πλήθους μὴ γιγνωσκόμενος
rather than to-be-carried with the multitude not being-recognized
ὁποῖός τίς ἐστιν; ἀλλὰ μὴν καὶ πραοτέραν τοσούτῳ
of-what-sort some he-is but truly also gentler by-so-much
δικαίως ἂν αὐτὴν εἶναι κρίνοιμεν, ὅσῳ περ ῥᾷόν ἐστιν
justly — it to-be we-would-judge by-as-much very easier it-is

ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον ἢ
of-one man to-mind to-turn the attention rather than
πολλαῖς καὶ παντοδαπαῖς διανοίαις ζητεῖν ἀρέσκειν.
many and various minds to-seek to-please
ὅτι μὲν οὖν ἡδίων ἐστὶ καὶ πραοτέρα καὶ δικαιοτέρα, διὰ 17
that indeed then pleasanter it-is and gentler and more-just through
πλειόνων μὲν ἄν τις ἀποδείξειεν, οὐ μὴν ἀλλὰ καὶ διὰ
more indeed — anyone could-show not however but also through
τούτων συνιδεῖν ῥᾴδιόν ἐστι· περὶ δὲ τῶν λοιπῶν, ὅσον
these to-see easy it-is about but the remaining how-much
αἱ μοναρχίαι πρὸς τὸ βουλεύεσθαι καὶ πρᾶξαί τι τῶν
the monarchies for the to-deliberate and to-do anything of-the
δεόντων διαφέρουσιν, οὕτως ἂν κάλλιστα θεωρήσαιμεν, εἰ
needful-things differ so — finest we-would-observe if
τὰς μεγίστας τῶν πράξεων παρ᾽ ἀλλήλας τιθέντες ἐξετάζειν
the greatest of-the actions beside one-another setting to-examine
ἐπιχειρήσαιμεν αὐτάς. οἱ μὲν τοίνυν κατ᾽ ἐνιαυτὸν εἰς τὰς
we-should-attempt them the-ones indeed then by year into the
ἀρχὰς εἰσιόντες πρότερον ἰδιῶται γίγνονται, πρὶν αἰσθέσθαι
offices entering sooner private-men become before to-perceive
τι τῶν τῆς πόλεως καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν·
anything of-the-things of-the city and to-take experience of-them
οἱ δ᾽ ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢν καὶ τὴν φύσιν 18
the-ones but always over-the same presiding if even the nature
καταδεεστέραν ἔχωσιν, ἀλλ᾽ οὖν ταῖς γ᾽ ἐμπειρίαις
inferior they-have but anyway in-the at-least experiences
πολὺ τῶν ἄλλων προέχουσιν. ἔπειθ᾽ οἱ μὲν πολλῶν
much than-the others excel then the-ones indeed many-things
καταμελοῦσιν εἰς ἀλλήλους ἀποβλέποντες, οἱ δ᾽ οὐδενὸς
neglect to one-another looking the-ones but nothing
ὀλιγωροῦσιν, εἰδότες ὅτι πάντα δεῖ δι᾽ αὑτῶν
slight knowing that all-things it-is-necessary through themselves

γίγνεσθαι. πρὸς δὲ τούτοις οἱ μὲν ἐν ταῖς ὀλιγαρχίαις
to-happen besides and these the-ones indeed in the oligarchies
καὶ ταῖς δημοκρατίαις διὰ τὰς πρὸς σφᾶς αὐτοὺς
and the democracies because-of the toward them- -selves
φιλοτιμίας λυμαίνονται τοῖς κοινοῖς· οἱ δ' ἐν ταῖς
rivalries damage the common-things the-ones but in the
μοναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ φθονήσουσι, πάντων,
monarchies being not having whom they-will-envy all-things
ὡς οἷόν τ' ἐστί, βέλτιστα πράττουσιν.
as possible — it-is best do

19 ἔπειθ' οἱ μὲν ὑστερίζουσι τῶν πραγμάτων· τὸν μὲν γὰρ
then the-ones indeed are-behind the affairs the indeed for
πλεῖστον χρόνον ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν, ἐπειδὰν
most time on the private-things spend when
δ' εἰς τὰ συνέδρια συνέλθωσιν, πλεονάκις ἄν τις αὐτοὺς
but into the councils they-come-together more-often — anyone them
εὕροι διαφερομένους ἢ κοινῇ βουλευομένους· οἱ
would-find quarreling than in-common deliberating the-ones
δ' οὔτε συνεδρίων οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων,
but neither councils nor times for-them appointed
ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν
but both the days and the nights at the affairs
ὄντες οὐκ ἀπολείπονται τῶν καιρῶν, ἀλλ' ἕκαστον ἐν τῷ
being not are-left-behind of-the occasions but each in the
δέοντι πράττουσιν.
needful do

20 ἔτι δ' οἱ μὲν δυσμενῶς ἔχουσι, καὶ βούλοιντ' ἂν
further and the-ones indeed hostilely are-disposed and would-wish —
καὶ τοὺς πρὸ αὑτῶν ἄρχοντας καὶ τοὺς ἐφ' αὑτοῖς ὡς
both the-ones before themselves rulers and the-ones after themselves as
κάκιστα διοικῆσαι τὴν πόλιν, ἵν' ὡς μεγίστην δόξαν
worst to-administer the city so-that as greatest reputation

αὐτοὶ λάβωσιν· οἱ δὲ διὰ παντὸς τοῦ βίου κύριοι
themselves they-may-take the-ones but through all the life masters
τῶν πραγμάτων ὄντες εἰς ἅπαντα τὸν χρόνον καὶ τὰς
of-the affairs being for all the time also the
εὐνοίας ἔχουσιν.
goodwills have

II · HIS TITLE, JUSTICE, AND TEMPERANCE

In monarchies the best men are chosen as advisers, and in war the tyrannies have every advantage of secrecy and speed. The Persian power grew by honoring the kingship; Dionysius saved Syracuse; Carthage and Sparta are oligarchies at home but kings in war; even Athens succeeds with one general. The gods themselves are said to be ruled by Zeus. Nicocles holds his throne lawfully: Teucer, his ancestor, founded Salamis, and Evagoras, his father, regained it from the Phoenicians. He has been just, for he found the treasury empty and the affairs in confusion, yet confiscated no one's property and exiled or killed no one; he settled most of the debts and claims left by the war, and calmed both the hostile islanders and the king, and took no land offered him. He has been temperate: since taking the throne he has approached no woman but his wife, to set an example and because he thought it wicked to wrong her.

τὸ δὲ μέγιστον· τοῖς γὰρ κοινοῖς οἱ μὲν ὡς 21
the but greatest to-the for common-affairs the-ones indeed as
ἀλλοτρίοις, οἱ δ' ὡς ἰδίοις προσέχουσι τὸν νοῦν, καὶ
to-others' the-ones but as to-their-own turn the mind and
συμβούλοις χρῶνται περὶ αὐτῶν οἱ μὲν τῶν ἀστῶν
advisers use about them the-ones indeed of-the townsmen
τοῖς τολμηροτάτοις, οἱ δ' ἐξ ἁπάντων ἐκλεξάμενοι
the most-reckless the-ones but from all having-selected
τοῖς φρονιμωτάτοις, καὶ τιμῶσιν οἱ μὲν τοὺς ἐν τοῖς
the wisest and honor the-ones indeed the-ones in the

ὄχλοις εἰπεῖν δυναμένους, οἱ δὲ τοὺς χρῆσθαι τοῖς
crowds to-speak able the-ones but the-ones to-handle the
πράγμασιν ἐπισταμένους.
affairs knowing-how

22 οὐ μόνον δ' ἐν τοῖς ἐγκυκλίοις καὶ τοῖς κατὰ τὴν ἡμέραν
not only and in the routine-things and the-things by the day
ἑκάστην γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν, ἀλλὰ καὶ
each happening the monarchies differ but also
τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας περιειλήφασιν. καὶ
the in the war advantages all have-embraced and
γὰρ παρασκευάσασθαι δυνάμεις καὶ χρήσασθαι ταύταις,
for to-prepare forces and to-use these
ὥστε καὶ λαθεῖν καὶ φθῆναι, καὶ τοὺς μὲν πεῖσαι,
so-as both to-escape-notice and to-anticipate and the-ones indeed to-persuade
τοὺς δὲ βιάσασθαι, παρὰ δὲ τῶν ἐκπρίασθαι, τοὺς δὲ ταῖς
the-ones but to-force from but these to-buy-off the-ones but with-the
ἄλλαις θεραπείαις προσαγαγέσθαι, μᾶλλον αἱ τυραννίδες
other attentions to-win-over more the tyrannies
τῶν ἄλλων πολιτειῶν οἷαί τ' εἰσίν. καὶ ταῦτ' ἐκ τῶν
than-the other constitutions able — are and these-things from the
ἔργων ἄν τις οὐχ ἧττον ἢ τῶν λόγων πιστεύσειεν.
deeds — anyone not less than the words could-believe

23 τοῦτο μὲν γὰρ τὴν τῶν Περσῶν δύναμιν ἅπαντες
on-the-one-hand indeed for the of-the Persians power all
ἴσμεν τηλικαύτην τὸ μέγεθος γεγενημένην οὐ διὰ τὴν
we-know so-great in-the size having-become not because-of the
τῶν ἀνδρῶν φρόνησιν, ἀλλ' ὅτι μᾶλλον τῶν ἄλλων
of-the men wisdom but because more than-the others
τὴν βασιλείαν τιμῶσι· τοῦτο δὲ Διονύσιον τὸν τύραννον,
the kingship they-honor on-the-other but Dionysius the tyrant
ὅτι παραλαβὼν τὴν μὲν ἄλλην Σικελίαν ἀνάστατον
that having-taken-over the indeed other Sicily devastated

γεγενημένην, τὴν δ' αὑτοῦ πατρίδα πολιορκουμένην, οὐ
having-become the but his-own fatherland besieged not
μόνον αὐτὴν τῶν παρόντων κινδύνων ἀπήλλαξεν, ἀλλὰ
only it from-the present dangers freed but
καὶ μεγίστην τῶν Ἑλληνίδων πόλεων ἐποίησεν· ἔτι δὲ
also greatest of-the Greek cities made further and
Καρχηδονίους καὶ Λακεδαιμονίους,
Carthaginians and Lacedaemonians
τοὺς ἄριστα τῶν ἄλλων πολιτευομένους, οἴκοι μὲν 24
the-ones best of-the others governing at-home indeed
ὀλιγαρχουμένους, παρὰ δὲ τὸν πόλεμον βασιλευομένους.
being-ruled-by-oligarchy in but the war being-ruled-by-kings
ἔχοι δ' ἄν τις ἐπιδεῖξαι καὶ τὴν πόλιν, τὴν μάλιστα
could and — anyone show also the city the most
τὰς τυραννίδας μισοῦσαν, ὅταν μὲν πολλοὺς ἐκπέμψῃ
the tyrannies hating when indeed many it-sends-out
στρατηγούς, ἀτυχοῦσαν, ὅταν δὲ δι' ἑνὸς ποιήσηται
generals failing when but through one it-makes
τοὺς κινδύνους, κατορθοῦσαν.
the dangers succeeding
καίτοι πῶς ἄν τις σαφέστερον ἐπιδείξειεν ἢ διὰ 25
and-yet how — anyone more-clearly could-show than through
τοιούτων παραδειγμάτων πλείστου τὰς μοναρχίας ἀξίας
such examples of-most the monarchies worth
οὔσας; φαίνονται γὰρ οἵ τε διὰ τέλους τυραννευόμενοι
being they-appear for the-ones both through end ruled-by-tyrants
μεγίστας δυνάμεις ἔχοντες, οἵ τε καλῶς ὀλιγαρχούμενοι,
greatest powers having the-ones and well ruled-by-oligarchy
περὶ ἃ μάλιστα σπουδάζουσιν, οἱ μὲν ἕνα μόνον
about what most they-are-serious the-ones indeed one only
στρατηγὸν οἱ δὲ βασιλέα τῶν στρατοπέδων κύριον
general the-others but king of-the armies master

καθιστάντες, οἵ τε μισοῦντες τὰς τυραννίδας, ὁπόταν
appointing the-ones and hating the tyrannies whenever
πολλοὺς ἄρχοντας ἐκπέμψωσιν,
many commanders they-send-out
26 οὐδὲν τῶν δεόντων πράττοντες. εἰ δὲ δεῖ τι καὶ
nothing of-the needful-things doing if but it-is-necessary something also
τῶν ἀρχαίων εἰπεῖν, λέγεται καὶ τοὺς θεοὺς ὑπὸ Διὸς
of-the ancient-things to-say it-is-said also the gods by Zeus
βασιλεύεσθαι. περὶ ὧν εἰ μὲν ἀληθὴς ὁ λόγος ἐστί, δῆλον
to-be-ruled-by-a-king about whom if indeed true the account is clear
ὅτι κἀκεῖνοι ταύτην τὴν κατάστασιν προκρίνουσιν, εἰ δὲ τὸ
that they-too this the arrangement prefer if but the
μὲν σαφὲς μηδεὶς οἶδεν, αὐτοὶ δ' εἰκάζοντες οὕτω περὶ
indeed clear-thing no-one knows ourselves but conjecturing so about
αὐτῶν ὑπειλήφαμεν, σημεῖον ὅτι πάντες τὴν μοναρχίαν
them have-supposed sign that all the monarchy
προτιμῶμεν· οὐ γὰρ ἄν ποτ' αὐτῇ χρῆσθαι τοὺς θεοὺς
prefer not for — ever it to-use the gods
ἔφαμεν, εἰ μὴ πολὺ τῶν ἄλλων αὐτὴν προέχειν ἐνομίζομεν.
we-would-say if not much than-the others it to-excel we-thought
27 περὶ μὲν οὖν τῶν πολιτειῶν, ὅσον ἀλλήλων
about indeed then the constitutions how-much from-one-another
διαφέρουσιν, ἅπαντα μὲν οὔθ' εὑρεῖν οὔτ' εἰπεῖν δυνατόν
they-differ all-things indeed neither to-find nor to-say possible
ἐστιν· οὐ μὴν ἀλλὰ πρός γε τὸ παρὸν ἀποχρώντως
is not however but for at-least the present sufficiently
καὶ νῦν εἴρηται περὶ αὐτῶν. ὡς δὲ προσηκόντως τὴν
also now has-been-said about them that but fittingly the
ἀρχὴν ἡμεῖς ἔχομεν, πολὺ τούτου συντομώτερος καὶ
rule we have much than-this more-concise and
μᾶλλον ὁμολογούμενος ὁ λόγος ἐστίν.
more agreed the argument is

τίς γὰρ οὐκ οἶδεν ὅτι Τεῦκρος μὲν ὁ τοῦ γένους ἡμῶν 28
who for not knows that Teucer indeed the of-the race our
ἀρχηγός, παραλαβὼν τοὺς τῶν ἄλλων πολιτῶν προγόνους,
founder having-taken the of-the other citizens ancestors
πλεύσας δεῦρο καὶ τὴν πόλιν αὐτοῖς ἔκτισε καὶ τὴν χώραν
having-sailed here both the city for-them founded and the land
κατένειμεν, ὁ δὲ πατὴρ Εὐαγόρας ἀπολεσάντων ἑτέρων
distributed the but father Evagoras having-lost others
τὴν ἀρχὴν πάλιν ἀνέλαβεν, ὑποστὰς τοὺς μεγίστους
the rule again took-back having-undergone the greatest
κινδύνους, καὶ τοσοῦτον μετέστησεν ὥστε μηκέτι Φοίνικας
dangers and so-much changed that no-longer Phoenicians
Σαλαμινίων τυραννεῖν, ἀλλ' ὥνπερ ἦν τὴν ἀρχήν,
over-Salaminians to-rule-as-tyrants but whose-very it-was the beginning
τούτους καὶ νῦν ἔχειν τὴν βασιλείαν;
these also now to-have the kingship
λοιπὸν οὖν ἐστιν ὧν προεθέμην περὶ ἐμαυτοῦ διελθεῖν 29
remaining then it-is of-what I-proposed about myself to-go-through
ἵν' ἐπίστησθ' ὅτι τοιοῦτός ἐστιν ὑμῶν ὁ βασιλεύων, ὃς
so-that you-may-know that such is your the-one reigning who
οὐ μόνον διὰ τοὺς προγόνους ἀλλὰ καὶ δι' ἐμαυτὸν
not only because-of the ancestors but also because-of myself
δικαίως ἂν καὶ μείζονος τιμῆς ἢ τηλικαύτης ἠξιώθην.
justly — even of-greater honor than so-great was-thought-worthy
οἶμαι γὰρ ἐγὼ πάντας ἂν ὁμολογῆσαι πλείστου τῶν ἀρετῶν
I-think for I all — to-agree of-most of-the virtues
ἀξίας εἶναι τήν τε σωφροσύνην καὶ τὴν δικαιοσύνην.
worth to-be the both temperance and the justice
οὐ γὰρ μόνον ἡμᾶς τὸ καθ' αὑτὰς ὠφελοῦσιν, ἀλλ' 30
not for only us the in themselves they-benefit but
εἰ 'θέλοιμεν σκοπεῖν καὶ τὰς φύσεις καὶ τὰς δυνάμεις
if we-should-wish to-consider both the natures and the powers

καὶ τὰς χρήσεις τῶν πραγμάτων, εὑρήσομεν τὰς μὲν
and the uses of-the things we-shall-find the-ones indeed
μὴ μετεχούσας τούτων τῶν ἰδεῶν μεγάλων κακῶν
not sharing-in these the forms of-great evils
αἰτίας οὔσας, τὰς δὲ μετὰ δικαιοσύνης καὶ σωφροσύνης
causes being the-ones but with justice and temperance
γιγνομένας πολλὰ τὸν βίον τὸν τῶν ἀνθρώπων ὠφελούσας.
happening greatly the life the of-the men benefiting
εἰ δή τινες τῶν προγεγενημένων ἐπὶ ταύταις ταῖς
if indeed some of-the-ones before for these the
ἀρεταῖς εὐδοκίμησαν, ἡγοῦμαι κἀμοὶ προσήκειν τῆς αὐτῆς
virtues were-well-thought-of I-think for-me-too to-befit the same
δόξης ἐκείνοις τυγχάνειν.
reputation as-they to-obtain

31 τὴν μὲν οὖν δικαιοσύνην ἐκεῖθεν ἂν μάλιστα κατίδοιτε.
the indeed then justice from-there — most you-would-perceive
παραλαβὼν γάρ, ὅτ' εἰς τὴν ἀρχὴν καθιστάμην, τὰ μὲν
having-taken-over for when into the rule I-was-established the indeed
βασίλεια χρημάτων κενὰ καὶ πάντα κατηναλωμένα, τὰ δὲ
palace of-money empty and all spent the but
πράγματα ταραχῆς μεστὰ καὶ πολλῆς ἐπιμελείας δεόμενα
affairs of-confusion full and of-much care needing
καὶ φυλακῆς καὶ δαπάνης, εἰδὼς ἑτέρους ἐν τοῖς τοιούτοις
and of-guard and of-expense knowing others in the such
καιροῖς ἐκ παντὸς τρόπου τὰ σφέτερ' αὐτῶν διορθουμένους
crises by every way the their own setting-right
καὶ πολλὰ παρὰ τὴν φύσιν τὴν αὑτῶν πράττειν
and many-things contrary-to the nature the their-own to-do
ἀναγκαζομένους, ὅμως οὐδ' ὑφ' ἑνὸς τούτων διεφθάρην,
compelled nevertheless not-even by one of-these I-was-corrupted

ἀλλ᾽ ὁσίως καὶ καλῶς ἐπεμελήθην τῶν πραγμάτων, ὥστε 32
but piously and finely I-took-care-of the affairs so-that
μηδὲν ἐλλείπειν ἐξ ὧν οἷόν τ᾽ ἦν αὐξηθῆναι καὶ
nothing to-be-lacking from which possible — it-was to-be-increased and
πρὸς εὐδαιμονίαν ἐπιδοῦναι τὴν πόλιν. πρός τε γὰρ τοὺς
toward prosperity to-advance the city toward both for the
πολίτας μετὰ τοιαύτης πραότητος προσηνέχθην, ὥστε
citizens with such gentleness I-behaved that
μήτε φυγὰς μήτε θανάτους μήτε χρημάτων ἀποβολὰς
neither exiles nor deaths nor of-property confiscations
μήτ᾽ ἄλλην μηδεμίαν τοιαύτην συμφορὰν ἐπὶ τῆς ἐμῆς
nor other no such misfortune in the my
γεγενῆσθαι βασιλείας.
to-have-happened reign
ἀβάτου δὲ τῆς Ἑλλάδος ἡμῖν οὔσης διὰ τὸν πόλεμον 33
impassable and — Greece to-us being because-of the war
τὸν γεγενημένον, καὶ πανταχοῦ συλωμένων ἡμῶν, τὰ
the having-occurred and everywhere being-plundered us the
πλεῖστα τούτων διέλυσα, τοῖς μὲν ἅπαντ᾽ ἀποτίνων,
most of-these I-settled to-the-ones indeed all-things paying-back
τοῖς δὲ μέρη, τῶν δ᾽ ἀναβαλέσθαι δεόμενος,
to-the-ones but parts the-others but to-defer asking
πρὸς δὲ τοὺς ὅπως ἠδυνάμην περὶ τῶν ἐγκλημάτων
toward and the-others as I-could about the charges
διαλλαττόμενος. ἔτι δὲ καὶ τῶν νῆσον οἰκούντων
being-reconciled further and also of-the-ones island inhabiting
δυσκόλως πρὸς ἡμᾶς διακειμένων, καὶ βασιλέως τῷ μὲν
ill toward us disposed and of-the-king in-the indeed
λόγῳ διηλλαγμένου τῇ δ᾽ ἀληθείᾳ τραχέως ἔχοντος,
word reconciled in-the but truth harshly being-disposed

34 ἀμφότερα ταῦτα κατεπράϋνα, τῷ μὲν προθύμως
both these I-appeased the-one indeed eagerly
ὑπηρετῶν, πρὸς δὲ τοὺς δίκαιον ἐμαυτὸν παρέχων.
serving toward but the-others just myself showing
τοσούτου γὰρ δέω τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥσθ' ἕτεροι
so-much for I-lack the others'-things to-desire that others
μέν, ἢν καὶ μικρῷ μείζω τῶν ὁμόρων δύναμιν ἔχωσιν,
indeed if even a-little greater than-the neighbors power they-have
ἀποτέμνονται τῆς γῆς καὶ πλεονεκτεῖν ζητοῦσιν, ἐγὼ δ'
cut-off of-the land and to-gain-advantage seek I but
οὐδὲ τὴν διδομένην χώραν ἠξίωσα λαβεῖν, ἀλλ' αἱροῦμαι
not-even the offered land thought-fit to-take but I-choose
μετὰ δικαιοσύνης τὴν ἐμαυτοῦ μόνον ἔχειν μᾶλλον ἢ
with justice the my-own only to-have rather than
μετὰ κακίας πολλαπλασίαν τῆς ὑπαρχούσης κτήσασθαι.
with wickedness many-times-greater than-the existing to-acquire
35 καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν,
and why is-it-necessary by one each saying to-spend-time
ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶσαι περὶ ἐμαυτοῦ;
otherwise both and briefly being-able to-make-clear about myself
φανήσομαι γὰρ οὐδένα μὲν πώποτ' ἀδικήσας, πλείους δὲ
I-shall-appear for no-one indeed ever having-wronged more but
καὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων εὖ πεποιηκὼς
both of-the citizens and of-the other Greeks well having-treated
καὶ μείζους δωρεὰς ἑκατέροις δεδωκὼς ἢ σύμπαντες
and greater gifts to-each having-given than all-together
οἱ πρὸ ἐμοῦ βασιλεύσαντες. καίτοι χρὴ τοὺς μέγα
the-ones before me having-reigned and-yet it-is-necessary the-ones great
φρονοῦντας ἐπὶ δικαιοσύνῃ καὶ προσποιουμένους χρημάτων
thinking on justice and claiming of-money
εἶναι κρείττους τοιαύτας ὑπερβολὰς ἔχειν εἰπεῖν περὶ αὑτῶν.
to-be superior such superiorities to-have to-say about themselves

καὶ μὲν δὴ καὶ περὶ σωφροσύνης ἔτι μείζω τούτων 36
and indeed now also about temperance still greater-things than-these
ἔχω διελθεῖν. εἰδὼς γὰρ ἅπαντας ἀνθρώπους περὶ πλείστου
I-have to-go-through knowing for all men about most
ποιουμένους τοὺς παῖδας τοὺς αὑτῶν καὶ τὰς γυναῖκας,
making the children the their-own and the wives
καὶ μάλιστ᾽ ὀργιζομένους τοῖς εἰς ταῦτ᾽ ἐξαμαρτάνουσι,
and most being-angry at-the-ones against these erring
καὶ τὴν ὕβριν τὴν περὶ ταῦτα μεγίστων κακῶν αἰτίαν
and the outrage the about these of-greatest evils cause
γιγνομένην, καὶ πολλοὺς ἤδη καὶ τῶν ἰδιωτῶν καὶ τῶν
becoming and many already both of-the private-men and of-the-ones
δυναστευσάντων διὰ ταύτην ἀπολομένους, οὕτως ἔφυγον
having-held-power because-of this having-perished so I-fled
τὰς αἰτίας ταύτας, ὥστ᾽ ἐξ οὗ τὴν βασιλείαν ἔλαβον, οὐδενὶ
the charges these that from when the kingship I-took to-no
φανήσομαι σώματι πεπλησιακὼς πλὴν τῆς ἐμαυτοῦ γυναικός,
I-shall-appear body having-approached except the my-own wife
οὐκ ἀγνοῶν ὅτι κἀκεῖνοι παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσιν, 37
not being-ignorant that those-too among the many are-well-thought-of
ὅσοι περὶ μὲν τὰ τῶν πολιτῶν δίκαιοι τυγχάνουσιν
as-many-as about indeed the-things of-the citizens just happen
ὄντες, ἄλλοθεν δέ ποθεν αὐτοῖς ἐπορίσαντο τὰς
being from-elsewhere but somewhere for-themselves procured the
ἡδονάς, ἀλλὰ βουλόμενος ἅμα μὲν ἐμαυτὸν ὡς
pleasures but wishing at-the-same-time indeed myself as
πορρωτάτω ποιῆσαι τῶν τοιούτων ὑποψιῶν, ἅμα
farthest to-put from-the such suspicions at-the-same-time
δὲ παράδειγμα καταστῆσαι τὸν τρόπον τὸν ἐμαυτοῦ
and example to-set the way the my-own
τοῖς ἄλλοις πολίταις, γιγνώσκων ὅτι φιλεῖ τὸ πλῆθος ἐν
for-the other citizens knowing that is-wont the multitude in

τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν, ἐν οἷς ἂν
these the pursuits the life to-pass in which —
τοὺς ἄρχοντας τοὺς αὑτῶν ὁρῶσι διατρίβοντας.
the rulers the their-own they-see spending-time
38 ἔπειτα καὶ προσήκειν ἡγησάμην τοσούτῳ τοὺς βασιλεῖς
then also to-befit I-thought by-so-much the kings
βελτίους εἶναι τῶν ἰδιωτῶν, ὅσῳ περ καὶ τὰς τιμὰς
better to-be than-the private-men by-as-much very also the honors
μείζους αὐτῶν ἔχουσι, καὶ δεινὰ ποιεῖν ὅσοι τοὺς
greater than-them they-have and terrible-things to-do as-many-as the-ones
μὲν ἄλλους κοσμίως ζῆν ἀναγκάζουσιν, αὐτοὶ δ' αὑτοὺς
indeed others decently to-live compel themselves but themselves
μὴ σωφρονεστέρους τῶν ἀρχομένων παρέχουσιν.
not more-temperate than-the ruled show
39 πρὸς δὲ τούτοις τῶν μὲν ἄλλων πράξεων ἑώρων
besides and these of-the indeed other actions I-saw
ἐγκρατεῖς τοὺς πολλοὺς γιγνομένους, τῶν δ' ἐπιθυμιῶν τῶν
masters the many becoming by-the but desires the
περὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας καὶ τοὺς βελτίστους
about the boys and the women also the best
ἡττωμένους· ἐβουλήθην οὖν ἐν τούτοις ἐμαυτὸν ἐπιδεῖξαι
being-overcome I-wished then in these myself to-show
καρτερεῖν δυνάμενον, ἐν οἷς ἔμελλον οὐ μόνον τῶν ἄλλων
to-endure able in which I-was-going not only than-the others
διοίσειν, ἀλλὰ καὶ τῶν ἐπ' ἀρετῇ μέγα φρονούντων.
to-differ but also than-the-ones on virtue greatly priding-themselves
40 ἔτι δὲ καὶ τῶν τοιούτων πολλὴν κακίαν κατεγίγνωσκον,
further and also of-the such much wickedness I-condemned
ὅσοι γυναῖκας λαβόντες καὶ κοινωνίαν ποιησάμενοι
as-many-as wives having-taken and partnership having-made
παντὸς τοῦ βίου μὴ στέργουσιν οἷς ἔπραξαν, ἀλλὰ
of-all the life not are-content with-what they-did but

ταῖς αὑτῶν ἡδοναῖς λυποῦσι ταύτας ὑφ᾽ ὧν αὐτοὶ μηδὲν
by-the their-own pleasures grieve these by whom themselves in-nothing
ἀξιοῦσι λυπεῖσθαι, καὶ περὶ μὲν ἄλλας τινὰς κοινωνίας
think-fit to-be-grieved and about indeed other some partnerships
ἐπιεικεῖς σφᾶς αὐτοὺς παρέχουσιν, ἐν δὲ ταῖς πρὸς τὰς
reasonable them- -selves show in but the toward the
γυναῖκας ἐξαμαρτάνουσιν· ἃς ἔδει τοσούτῳ μᾶλλον
wives they-err whom it-was-necessary by-so-much more
διαφυλάττειν, ὅσῳ περ οἰκειότεραι καὶ μείζους οὖσαι
to-guard by-as-much very more-intimate and greater being
τῶν ἄλλων τυγχάνουσιν.
than-the others they-happen

III · WHAT THE KING ASKS OF HIS SUBJECTS

A king should keep his house free of strife, and Nicocles begot no children of humbler mothers, so that all trace their line to Evagoras, the Aeacids, and Zeus. Justice and temperance are the virtues the bad cannot share, and each is tested in its own circumstances, so Nicocles has proved his in want, in power, and in youth. Now he tells his subjects what to do: perform their duties carefully, care for his affairs as their own, abstain from others' goods, prefer good repute to riches, hide nothing, expose the wicked, form no clubs, desire no change, and trust in their own virtue rather than his gentleness. They should teach their children to obey, value his goodwill as the best inheritance, envy no one honored by him, and take his words as laws. If they do so, they will see their lives improve, his rule grow, and the city become prosperous.

εἶτα λανθάνουσιν ἔνδον ἐν τοῖς βασιλείοις στάσεις καὶ 41
then they-escape-notice within in the palaces factions and
διαφορὰς αὑτοῖς ἐγκαταλείποντες. καίτοι χρὴ τοὺς
quarrels for-themselves leaving-behind and-yet it-is-necessary the-ones
ὀρθῶς βασιλεύοντας μὴ μόνον τὰς πόλεις ἐν ὁμονοίᾳ
rightly reigning not only the cities in concord

πειρᾶσθαι διάγειν, ὧν ἂν ἄρχωσιν, ἀλλὰ καὶ τοὺς οἴκους
to-try to-keep which — they-rule but also the houses
τοὺς ἰδίους καὶ τοὺς τόπους ἐν οἷς ἂν κατοικῶσιν· ἅπαντα
the own and the places in which — they-dwell all
γὰρ ταῦτα σωφροσύνης ἔργα καὶ δικαιοσύνης ἐστίν.
for these of-temperance works and of-justice are
42 οὐ τὴν αὐτὴν δὲ γνώμην ἔσχον οὐδὲ περὶ τῆς παιδοποιίας
not the same and mind I-had nor about the begetting-of-children
τοῖς πλείστοις τῶν βασιλέων, οὐδ' ᾠήθην δεῖν τοὺς
as-the most of-the kings nor I-thought to-be-necessary the-ones
μὲν ἐκ ταπεινοτέρας ποιήσασθαι τῶν παίδων τοὺς δ'
indeed from a-humbler to-beget of-the children the-others but
ἐκ σεμνοτέρας, οὐδὲ τοὺς μὲν νόθους αὐτῶν τοὺς δὲ
from a-more-dignified nor the-ones indeed bastards of-them the-others but
γνησίους καταλιπεῖν, ἀλλὰ πάντας ἔχειν τὴν αὐτὴν φύσιν
legitimate to-leave but all to-have the same nature
καὶ πρὸς πατρὸς καὶ πρὸς μητρὸς ἀνενεγκεῖν, τῶν μὲν
both on father's-side and on mother's-side to-trace-back of-the indeed
θνητῶν εἰς Εὐαγόραν τὸν πατέρα, τῶν δ' ἡμιθέων εἰς
mortals to Evagoras the father of-the but demigods to
Αἰακίδας, τῶν δὲ θεῶν εἰς Δία, καὶ μηδένα τῶν ἐξ
Aeacids of-the but gods to Zeus and no-one of-the-ones from
ἐμοῦ γενομένων ἀποστερηθῆναι ταύτης τῆς εὐγενείας.
me born to-be-deprived of-this the noble-birth
43 πολλῶν δέ με προτρεπόντων ἐμμένειν τοῖς ἐπιτηδεύμασι
many but me urging to-abide-by the pursuits
τούτοις, οὐχ ἥκιστα κἀκεῖνο παρεκάλεσεν, ὅτι τῆς
these not least that-too exhorted that of-the
μὲν ἀνδρίας καὶ τῆς δεινότητος καὶ τῶν ἄλλων τῶν
indeed courage and of-the cleverness and of-the others the
εὐδοκιμούντων ἑώρων καὶ τῶν κακῶν ἀνδρῶν πολλοὺς
well-reputed I-saw also of-the bad men many

μετέχοντας, τὴν δὲ δικαιοσύνην καὶ σωφροσύνην ἴδια κτήματα
sharing the but justice and temperance own possessions
τῶν καλῶν κἀγαθῶν ὄντα. κάλλιστον οὖν ὑπέλαβον, εἴ τις
of-the fine and-good being finest then I-supposed if anyone
δύναιτο ταύταις ταῖς ἀρεταῖς προέχειν τῶν ἄλλων, ὧν
could-be-able in-these the virtues to-excel the others of-which
οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστιν, ἀλλὰ γνησιώταται καὶ
no part to-the wicked belongs but most-genuine and
βεβαιόταται καὶ μεγίστων ἐπαίνων ἄξιαι τυγχάνουσιν οὖσαι.
most-firm and of-greatest praises worthy they-happen being
τούτων ἕνεκα καὶ ταῦτα διανοηθεὶς περιττοτέρως τῶν 44
of-these for-the-sake and these-things having-considered more-extraordinarily than-the
ἄλλων ἤσκησα τὴν σωφροσύνην καὶ προειλόμην τῶν ἡδονῶν
others I-practiced the temperance and I-preferred of-the pleasures
οὐ τὰς ἐπὶ τοῖς ἔργοις τοῖς μηδεμίαν τιμὴν ἔχουσιν,
not the-ones on the deeds the-ones no honor having
ἀλλὰ τὰς ἐπὶ ταῖς δόξαις ταῖς δι' ἀνδραγαθίαν
but the-ones on the reputations the-ones through manly-virtue
γιγνομέναις. χρὴ δὲ δοκιμάζειν τὰς ἀρετὰς οὐκ ἐν
arising it-is-necessary and to-test the virtues not in
ταῖς αὐταῖς ἰδέαις ἁπάσας, ἀλλὰ τὴν μὲν δικαιοσύνην ἐν
the same forms all but the indeed justice in
ταῖς ἀπορίαις, τὴν δὲ σωφροσύνην ἐν ταῖς δυναστείαις,
the want the but temperance in the dominions
τὴν δ' ἐγκράτειαν ἐν ταῖς τῶν νεωτέρων ἡλικίαις.
the but self-mastery in the of-the younger ages
ἐγὼ τοίνυν ἐν πᾶσι τοῖς καιροῖς φανήσομαι πεῖραν τῆς 45
I then in all the occasions shall-appear proof of-the
ἐμαυτοῦ φύσεως δεδωκώς. ἐνδεὴς μέν γε χρημάτων
my-own nature having-given lacking indeed at-least of-money
καταλειφθεὶς οὕτω δίκαιον ἐμαυτὸν παρέσχον ὥστε μηδένα
left so just myself I-showed that no-one

λυπῆσαι τῶν πολιτῶν· λαβὼν δ' ἐξουσίαν ὥστε ποιεῖν ὅ
to-grieve of-the citizens having-got but license so-as to-do what
τι ἂν βούλωμαι, σωφρονέστερος τῶν ἰδιωτῶν ἐγενόμην·
ever — I-wish more-temperate than-the private-men I-became
τούτων δ' ἀμφοτέρων ἐκράτησα ταύτην ἔχων τὴν ἡλικίαν,
these but both I-mastered this having the age
ἐν ᾗ τοὺς πλείστους ἂν εὕροιμεν πλεῖστα περὶ τὰς
in which the most — we-would-find most about the
πράξεις ἐξαμαρτάνοντας.
actions erring

46 καὶ ταῦτ' ἐν ἑτέροις μὲν ἴσως ἂν ὤκνουν εἰπεῖν, οὐχ
and these-things in others indeed perhaps — I-would-shrink to-say not
ὡς οὐ φιλοτιμούμενος ἐπὶ τοῖς πεπραγμένοις, ἀλλ' ὡς
as not being-ambitious on the-things done but as
οὐκ ἂν πιστευθεὶς ἐκ τῶν λεγομένων· ὑμεῖς δ' αὐτοί
not — being-believed from the-things said you but yourselves
μοι μάρτυρές ἐστε πάντων τῶν εἰρημένων· ἄξιον μὲν
to-me witnesses are of-all the-things said worthy indeed
οὖν καὶ τοὺς φύσει κοσμίους ὄντας ἐπαινεῖν καὶ θαυμάζειν,
then also the-ones by-nature orderly being to-praise and to-admire
ἔτι δὲ μᾶλλον καὶ τοὺς μετὰ λογισμοῦ τοιούτους ὄντας·
still and more also the-ones with reasoning such being

47 οἱ μὲν γὰρ τύχῃ καὶ μὴ γνώμῃ σωφρονοῦντες τυχὸν
the-ones indeed for by-chance and not by-judgment being-temperate perhaps
ἂν καὶ μεταπεισθεῖεν· οἱ δὲ πρὸς τῷ πεφυκέναι
— also might-be-persuaded-otherwise the-ones but besides the to-be-by-nature
καὶ διεγνωκότες ὅτι μέγιστόν ἐστι τῶν ἀγαθῶν ἀρετή,
also having-decided that greatest is of-the goods virtue
δῆλον ὅτι πάντα τὸν βίον ἐν ταύτῃ τῇ τάξει διαμενοῦσιν.
clear that all the life in this the station will-remain

διὰ τοῦτο δὲ πλείους ἐποιησάμην τοὺς λόγους καὶ
because-of this and more I-made the speeches both
περὶ ἐμαυτοῦ καὶ περὶ τῶν ἄλλων τῶν προειρημένων,
about myself and about the others the said-before
ἵνα μηδεμίαν ὑπολίπω πρόφασιν ὡς οὐ δεῖ ποιεῖν
so-that no I-may-leave pretext that not it-is-necessary to-do
ὑμᾶς ἑκόντας καὶ προθύμως, ἅττ' ἂν ἐγὼ συμβουλεύσω
you willing and eagerly whatever — I shall-advise
καὶ προστάξω.
and shall-enjoin
φημὶ δὲ χρῆναι πράττειν ἕκαστον ὑμῶν, ἐφ' οἷς ἐφέστηκεν, 48
I-say and to-be-necessary to-do each of-you over what he-has-been-set
ἐπιμελῶς καὶ δικαίως· καθ' ὁπότερον γὰρ ἂν ἐλλείπητε
carefully and justly in whichever for — you-fall-short
τούτων, ἀνάγκη κακῶς σχεῖν ταύτῃ τὰς πράξεις. μηδενὸς
of-these necessity badly to-fare in-this-respect the affairs nothing
ὀλιγωρεῖτε μηδὲ καταφρονεῖτε τῶν προστεταγμένων,
neglect nor despise of-the-things enjoined
ὑπολαμβάνοντες ὡς οὐ παρὰ τοῦτ' ἐστίν, ἀλλ' ὡς παρ'
supposing that not on this it-depends but that on
ἕκαστον τῶν μερῶν ἢ καλῶς ἢ κακῶς τὸ σύμπαν ἔξον,
each of-the parts either well or badly the whole going-to-fare
οὕτω σπουδάζετε περὶ αὐτῶν. κήδεσθε μηδὲν ἧττον τῶν 49
so be-serious about them care nothing less for-the
ἐμῶν ἢ τῶν ὑμετέρων αὐτῶν, καὶ μὴ νομίζετε μικρὸν
mine than for-the your own and not think small
ἀγαθὸν εἶναι τὰς τιμὰς ἃς ἔχουσιν οἱ καλῶς τῶν
good to-be the honors which have the-ones well over-the
ἡμετέρων ἐπιστατοῦντες. ἀπέχεσθε τῶν ἀλλοτρίων, ἵν'
our-things presiding abstain from-the others'-things so-that
ἀσφαλέστερον τοὺς οἴκους τοὺς ὑμετέρους αὐτῶν κεκτῆσθε.
more-safely the houses the your own you-may-possess

τοιούτους εἶναι χρὴ περὶ τοὺς ἄλλους, οἷόν περ ἐμὲ
such to-be it-is-necessary toward the others as very me
περὶ ὑμᾶς ἀξιοῦτε γίγνεσθαι.
toward you you-think-fit to-become

50 μὴ σπεύδετε πλουτεῖν μᾶλλον ἢ χρηστοὶ δοκεῖν εἶναι,
not hasten to-be-rich more than good to-seem to-be
γιγνώσκοντες ὅτι καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων
knowing that both of-the Greeks and of-the barbarians
οἱ μεγίστας ἐπ᾽ ἀρετῇ δόξας ἔχοντες πλείστων ἀγαθῶν
the-ones greatest for virtue reputations having of-most goods
δεσπόται καθίστανται. τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ
masters become the money-makings the contrary-to the
δίκαιον γιγνομένους ἡγεῖσθε μὴ πλοῦτον ἀλλὰ κίνδυνον
just happening think not wealth but danger
ποιήσειν. μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε,
to-be-going-to-produce not the indeed to-take gain to-be think
τὸ δ᾽ ἀναλῶσαι ζημίαν· οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν
the but to-spend loss neither for of-these always the
αὐτὴν ἔχει δύναμιν, ἀλλ᾽ ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ᾽
same has power but whichever — in season and with
ἀρετῆς γίγνηται, τοῦτ᾽ ὠφελεῖ τοὺς ποιοῦντας.
virtue happens this benefits the-ones doing

51 μηδὲ πρὸς ἓν χαλεπῶς ἔχετε τῶν ὑπ᾽ ἐμοῦ
nor toward one harshly be-disposed of-the-things by me
προσταττομένων· ὅσοι γὰρ ἂν ὑμῶν περὶ πλεῖστα
enjoined as-many-as for — of-you about most
τῶν ἐμῶν χρησίμους αὑτοὺς παράσχωσιν, οὗτοι πλεῖστα
of-the mine useful themselves show these most
τοὺς οἴκους τοὺς αὑτῶν ὠφελήσουσιν. ὅ τι ἂν
the houses the their-own will-benefit what ever —
ὑμῶν ἕκαστος αὐτὸς αὑτῷ τύχῃ συνειδώς, ἡγείσθω
of-you each himself to-himself happens conscious-of let-him-think

μηδ' ἐμὲ λήσειν, ἀλλ' ἐὰν καὶ τὸ σῶμα
not-even me to-be-going-to-escape-notice but if even the body
μὴ παρῇ, τὴν διάνοιαν τὴν ἐμὴν οἰέσθω τοῖς
not be-present the mind the my let-him-think to-the-things
γιγνομένοις παρεστάναι· ταύτην γὰρ τὴν γνώμην ἔχοντες,
happening to-be-present this for the opinion having
σωφρονέστερον βουλεύσεσθε περὶ ἁπάντων.
more-temperately you-will-deliberate about all-things
μηδὲν ἀποκρύπτεσθε μήθ' ὧν κέκτησθε μήθ' ὧν 52
nothing conceal either of-what you-possess or of-what
ποιεῖτε μήθ' ὧν μέλλετε πράττειν, εἰδότες ὅτι περὶ
you-do or of-what you-are-going to-do knowing that about
τὰ κεκρυμμένα τῶν πραγμάτων ἀναγκαῖόν ἐστι πολλοὺς
the hidden-things of-the affairs necessary it-is many
φόβους γίγνεσθαι. μὴ τεχνικῶς ζητεῖτε πολιτεύεσθαι μηδ'
fears to-arise not artfully seek to-be-citizens nor
ἀφανῶς, ἀλλ' οὕτως ἁπλῶς καὶ φανερῶς ὥστε μηδ' ἄν
obscurely but so simply and openly that not-even if
τις βούληται ῥᾴδιον ὑμᾶς εἶναι διαβαλεῖν. δοκιμάζετε τὰς
anyone should-wish easy you to-be to-slander test the
πράξεις, καὶ νομίζετε πονηρὰς μὲν ἃς πράττοντες
actions and think wicked indeed the-ones-which doing
λανθάνειν ἐμὲ βούλεσθε, χρηστὰς δὲ περὶ ὧν ἐγὼ μέλλω
to-escape-notice me you-wish good but about which I am-going
πυθόμενος βελτίους ὑμᾶς νομιεῖν.
having-learned better you to-think
μὴ κατασιωπᾶτε, ἄν τινας ὁρᾶτε περὶ τὴν ἀρχὴν τὴν 53
not keep-silent if some you-see about the rule the
ἐμὴν πονηροὺς ὄντας, ἀλλ' ἐξελέγχετε, καὶ νομίζετε τῆς
my wicked being but convict and think of-the
αὐτῆς ζημίας ἀξίους εἶναι τοὺς συγκρύπτοντας τοῖς
same penalty worthy to-be the-ones concealing-with the-ones

ἁμαρτάνουσιν. εὐτυχεῖν νομίζετε μὴ τοὺς λανθάνοντας, ἐάν
erring to-be-fortunate think not the-ones escaping-notice if
τι κακὸν ποιήσωσιν, ἀλλὰ τοὺς μηδὲν ἐξαμαρτάνοντας·
anything bad they-do but the-ones nothing erring
τοὺς μὲν γὰρ εἰκὸς τοιαῦτα παθεῖν, οἷά περ αὐτοὶ ποιοῦσι,
the-ones indeed for likely such-things to-suffer as very themselves do
τοὺς δὲ χάριν ἀπολαβεῖν, ἧς ἄξιοι τυγχάνουσιν ὄντες.
the-ones but gratitude to-receive of-which worthy they-happen being
54 ἑταιρείας μὴ ποιεῖσθε μηδὲ συνόδους ἄνευ τῆς ἐμῆς γνώμης·
clubs not make nor assemblies without the my judgment
αἱ γὰρ τοιαῦται συστάσεις ἐν μὲν ταῖς ἄλλαις πολιτείαις
the for such combinations in indeed the other constitutions
πλεονεκτοῦσιν, ἐν δὲ ταῖς μοναρχίαις κινδυνεύουσιν. μὴ
gain-advantage in but the monarchies run-risks not
μόνον ἀπέχεσθε τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ τῶν
only abstain from-the errors but also from-the
ἐπιτηδευμάτων τῶν τοιούτων ἐν οἷς ἀναγκαῖόν ἐστιν ὑποψίαν
practices the such in which necessary it-is suspicion
ἐγγίγνεσθαι. τὴν ἐμὴν φιλίαν ἀσφαλεστάτην καὶ βεβαιοτάτην
to-arise the my friendship safest and most-firm
εἶναι νομίζετε. διαφυλάττετε τὴν παροῦσαν κατάστασιν,
to-be think preserve the present arrangement
55 καὶ μηδεμιᾶς ἐπιθυμεῖτε μεταβολῆς, εἰδότες ὅτι διὰ τὰς
and no desire change knowing that because-of the
ταραχὰς ἀναγκαῖόν ἐστι καὶ τὰς πόλεις ἀπόλλυσθαι καὶ
disturbances necessary it-is both the cities to-perish and
τοὺς οἴκους τοὺς ἰδίους ἀναστάτους γίγνεσθαι. μὴ μόνον τὰς
the houses the private devastated to-become not only the
φύσεις αἰτίας νομίζετε τοῦ χαλεποὺς ἢ πράους εἶναι τοὺς
natures causes think of-the harsh or gentle to-be the
τυράννους, ἀλλὰ καὶ τὸν τρόπον τὸν τῶν πολιτῶν· πολλοὶ
tyrants but also the character the of-the citizens many

γὰρ ἤδη διὰ τὴν τῶν ἀρχομένων κακίαν τραχύτερον
for already because-of the of-the ruled wickedness more-harshly
ἢ κατὰ τὴν αὑτῶν γνώμην ἄρχειν ἠναγκάσθησαν.
than according-to the their-own judgment to-rule were-compelled
θαρρεῖτε μὴ μᾶλλον διὰ τὴν πραότητα τὴν ἐμὴν ἢ διὰ 56
take-courage not more through the gentleness the my than through
τὴν ὑμετέραν αὐτῶν ἀρετήν. τὴν ἐμὴν ἀσφάλειαν ἄδειαν
the your own virtue the my safety security
ὑμῖν αὐτοῖς εἶναι νομίζετε· καλῶς γὰρ τῶν περὶ ἐμὲ
for-you yourselves to-be think well for of-the-things about me
καθεστώτων τὸν αὐτὸν τρόπον καὶ τὰ περὶ ὑμᾶς ἕξει.
established the same way also the-things about you will-be
ταπεινοὺς μὲν εἶναι χρὴ πρὸς τὴν ἀρχὴν τὴν ἐμήν,
humble indeed to-be it-is-necessary toward the rule the my
ἐμμένοντας τοῖς ἔθεσι καὶ διαφυλάττοντας τοὺς νόμους
abiding-by the customs and preserving the laws
τοὺς βασιλικούς, λαμπροὺς δ' ἐν ταῖς ὑπὲρ τῆς πόλεως
the royal splendid but in the for the city
λειτουργίαις καὶ τοῖς ἄλλοις τοῖς ὑπ' ἐμοῦ προσταττομένοις.
public-services and the other-things the by me enjoined
προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετὴν μὴ μόνον 57
urge the younger to virtue not only
παραινοῦντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδεικνύοντες
exhorting but also in the actions showing
αὐτοῖς οἵους εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθούς.
them what-sort to-be it-is-necessary the men the good
διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν πειθαρχεῖν,
teach the children the your own to-obey
καὶ περὶ τὴν παίδευσιν τὴν εἰρημένην ἐθίζετ' αὐτοὺς
and about the education the said accustom them
ὡς μάλιστα διατρίβειν· ἢν γὰρ καλῶς ἄρχεσθαι μάθωσι,
as most to-spend-time if for well to-be-ruled they-learn

πολλῶν ἄρχειν δυνήσονται, καὶ πιστοὶ μὲν ὄντες καὶ
many to-rule they-will-be-able and faithful indeed being and
δίκαιοι μεθέξουσι τῶν ἡμετέρων ἀγαθῶν, κακοὶ δὲ
just they-will-share of-the our goods bad but
γενόμενοι κινδυνεύσουσι περὶ τῶν ὑπαρχόντων.
having-become they-will-run-risk about the-things existing
58 μέγιστον ἡγεῖσθε καὶ βεβαιότατον τοῖς παισὶ πλοῦτον
greatest think and most-firm to-the children wealth
παραδώσειν, ἢν αὐτοῖς δύνησθε τὴν ἡμετέραν εὔνοιαν
to-be-going-to-hand-down if to-them you-can the our goodwill
καταλείπειν. ἀθλιωτάτους ἡγεῖσθε καὶ δυστυχεστάτους,
to-leave most-wretched think and most-unfortunate
ὅσοι περὶ τοὺς πιστεύοντας ἄπιστοι γεγόνασιν· ἀνάγκη
as-many-as toward the-ones trusting faithless have-become necessity
γὰρ τοὺς τοιούτους ἀθύμως ἔχοντας καὶ φοβουμένους
for the such disheartened being and fearing
ἅπαντα καὶ μηδὲν μᾶλλον πιστεύοντας τοῖς φίλοις ἢ
all-things and in-nothing more trusting the friends than
τοῖς ἐχθροῖς τὸν ἐπίλοιπον χρόνον διάγειν.
the enemies the remaining time to-pass
59 ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν
emulate not the-ones most having-acquired but the-ones nothing
κακὸν σφίσιν αὐτοῖς συνειδότας· μετὰ γὰρ τοιαύτης ψυχῆς
bad with-them- -selves being-conscious-of with for such soul
ἥδιστ' ἄν τις δύναιτο τὸν βίον διαγαγεῖν. μὴ τὴν
most-pleasantly — anyone could the life to-pass not the
κακίαν οἴεσθε δύνασθαι μὲν πλείω τῆς ἀρετῆς ὠφελεῖν,
wickedness think to-be-able indeed more than-the virtue to-benefit
τὸ δ' ὄνομα δυσχερέστερον ἔχειν, ἀλλ' οἵων περ
the but name more-disagreeable to-have but of-what-sort very

ὀνομάτων ἕκαστον τῶν πραγμάτων τετύχηκε, τοιαύτας
names each of-the things has-got such
ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν εἶναι.
think also the powers their to-be
μὴ φθονεῖτε τοῖς παρ᾽ ἐμοὶ πρωτεύουσιν ἀλλ᾽ ἁμιλλᾶσθε, 60
not envy the-ones with me holding-first-place but vie
καὶ πειρᾶσθε χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντες ἐξισοῦσθαι
and try good you yourselves showing to-equal
τοῖς προέχουσιν. φιλεῖν οἴεσθε δεῖν καὶ τιμᾶν οὕσπερ
the-ones excelling to-love think to-be-necessary and to-honor whomever
ἂν καὶ ὁ βασιλεύς, ἵνα καὶ παρ᾽ ἐμοῦ τυγχάνητε τῶν
— also the king so-that also from me you-may-obtain the
αὐτῶν τούτων. οἷά περ παρόντος μου λέγετε, τοιαῦτα
same these what very present me you-say such-things
καὶ περὶ ἀπόντος φρονεῖτε.
also about absent think
τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον 61
the goodwill the toward us in the deeds display more
ἢ ἐν τοῖς λόγοις. ἃ πάσχοντες ὑφ᾽ ἑτέρων ὀργίζεσθε,
than in the words what suffering by others you-are-angered
ταῦτα τοὺς ἄλλους μὴ ποιεῖτε. περὶ ὧν ἂν ἐν τοῖς λόγοις
these-things to-the others not do about what — in the words
κατηγορῆτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε.
you-accuse nothing of-these in the deeds practice
τοιαῦτα προσδοκᾶτε πράξειν, οἷ᾽ ἂν περὶ ἡμῶν διανοῆσθε.
such-things expect to-be-going-to-fare as — about us you-intend
μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθοὺς ἀλλὰ καὶ μιμεῖσθε.
not only praise the good but also imitate
τοὺς λόγους τοὺς ἐμοὺς νόμους εἶναι νομίζοντες πειρᾶσθε 62
the words the my laws to-be thinking try
τούτοις ἐμμένειν, εἰδότες ὅτι τοῖς μάλιστα ποιοῦσιν ὑμῶν
these to-abide-by knowing that to-the-ones most doing of-you

ἁγὼ βούλομαι, τάχιστα τούτοις ἐξέσται ζῆν ὡς αὐτοὶ
what-I wish quickest to-these it-will-be-possible to-live as themselves
βούλονται. κεφάλαιον δὲ τῶν εἰρημένων· οἵους περ τοὺς ὑφ'
wish the-sum and of-the things-said such-as very the-ones by
ὑμῶν ἀρχομένους οἴεσθε δεῖν περὶ ὑμᾶς εἶναι, τοιούτους
you ruled you-think to-be-necessary toward you to-be such
χρὴ καὶ περὶ τὴν ἀρχὴν τὴν ἐμὴν ὑμᾶς γίγνεσθαι.
it-is-necessary also toward the rule the my you to-become
63 καὶ ταῦτ' ἂν ποιῆτε, τί δεῖ περὶ τῶν
and these-things if you-do why is-it-necessary about the-things
συμβησομένων μακρολογεῖν; ἦν γὰρ ἐγώ τε παρέχω
going-to-result to-speak-at-length if for I both show
τοιοῦτον ἐμαυτὸν οἷόν περ ἐν τῷ παρελθόντι χρόνῳ, καὶ
such myself as very in the past time and
τὰ παρ' ὑμῶν ὑπηρετῆται, ταχέως ὄψεσθε καὶ τὸν
the-things from you be-served quickly you-will-see both the
βίον τὸν ὑμέτερον αὐτῶν ἐπιδεδωκότα καὶ τὴν ἀρχὴν τὴν
life the your own having-advanced and the rule the
ἐμὴν ηὐξημένην καὶ τὴν πόλιν εὐδαίμονα γεγενημένην.
my increased and the city prosperous having-become
64 ἄξιον μὲν οὖν τηλικούτων ἀγαθῶν ἕνεκα μηδὲν ἐλλείπειν,
worthy indeed then of-such goods for-the-sake in-nothing to-fall-short
ἀλλὰ καὶ πόνους καὶ κινδύνους οὑστινασοῦν ὑπενεγκεῖν·
but even toils and dangers whatsoever to-undergo
ὑμῖν δ' ἔξεστι μηδὲν ταλαιπωρηθεῖσιν, ἀλλὰ πιστοῖς
for-you but it-is-possible in-nothing having-suffered-hardship but faithful
μόνον καὶ δικαίοις οὖσιν, ἅπαντα ταῦτα διαπράξασθαι.
only and just being all these-things to-accomplish

ISOCRATES

ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ

To Demonicus

Good men differ from bad most in their friendships, which last even in absence, so Isocrates sends Demonicus this discourse as a sign of his goodwill and of his friendship with Hipponicus, Demonicus' father. It is advice, not exhortation: how the young should live, whom to associate with, and what to avoid. Virtue is the only possession that grows old with a man, as Heracles and Theseus show, and his father Hipponicus is a model at home: he exercised his body, endured danger, used his wealth wisely, and loved his friends. Then the precepts: be pious and keep your oaths, treat your parents as you would wish your children to treat you, exercise for health, avoid rash laughter and boldness, cultivate modesty and justice, love learning, travel to hear good teachers, be courteous, master your passions, keep confidences, accept an imposed oath only to clear yourself or to save friends, never for money, and test your friends before trusting them.

ἐν πολλοῖς μέν, ὦ Δημόνικε, πολὺ διεστώσας εὑρήσομεν τάς 1
in many-things indeed O Demonicus far differing we-shall-find the
τε τῶν σπουδαίων γνώμας καὶ τὰς τῶν φαύλων διανοίας·
both of-the serious opinions and the of-the base thoughts
πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς
by-far but greatest difference they-have-got in the toward
ἀλλήλους συνηθείαις· οἱ μὲν γὰρ τοὺς φίλους παρόντας
one-another intimacies the-ones indeed for the friends present
μόνον τιμῶσιν, οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι· καὶ
only honor the-others but even far absent love and
τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε, τὰς
the indeed of-the base intimacies little time dissolved the
δὲ τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν.
but of-the serious friendships not-even — the whole age could-blot-out
ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους καὶ παιδείας 2
thinking then to-befit the-ones reputation reaching-for and education
ἀντιποιουμένους τῶν σπουδαίων ἀλλὰ μὴ τῶν φαύλων
laying-claim-to of-the serious but not of-the base

εἶναι μιμητάς, ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον,
to-be imitators I-have-sent to-you this the discourse gift
τεκμήριον μὲν τῆς πρὸς ὑμᾶς εὐνοίας, σημεῖον δὲ τῆς πρὸς
evidence indeed of-the toward you goodwill sign but of-the toward
Ἱππόνικον συνηθείας· πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς
Hipponicus intimacy it-befits for the sons as of-the
οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν.
property so also of-the friendship the paternal to-inherit
3 ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν καὶ τὸν
I-see and also the fortune us helping and the
παρόντα καιρὸν συναγωνιζόμενον· σὺ μὲν γὰρ παιδείας
present occasion contending-with-us you indeed for education
ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ, καὶ σοὶ μὲν
desire I but to-educate others attempt and for-you indeed
ἀκμὴ φιλοσοφεῖν, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ.
prime to-philosophize I but the-ones philosophizing correct
ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς
as-many-as indeed then for the their-own friends the
προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον
exhortatory discourses compose fine indeed work
ἐπιχειροῦσιν,
attempt
4 οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας
not however about at-least the best of-the philosophy
διατρίβουσιν· ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται μὴ
spend-time as-many-as but to-the younger introduce not
δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν,
through what the cleverness the in the speeches they-will-practice
ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι
but how the of-the manners characters serious by-nature-to-be
δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας
they-will-seem by-so-much more than-those the hearers

ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον παρακαλοῦσιν,
they-benefit by-as-much the-ones indeed to speech summon
οἱ δὲ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι.
the-others but the character their correct
διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες ἀλλὰ παραίνεσιν 5
wherefore we not exhortation having-found but advice
γράψαντες, μέλλομέν σοι συμβουλεύειν ὧν χρὴ
having-written are-going to-you to-counsel what it-is-necessary
τοὺς νεωτέρους ὀρέγεσθαι καὶ τίνων ἔργων ἀπέχεσθαι
the younger to-reach-for and from-what deeds to-abstain
καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν καὶ πῶς τὸν
and with-what-sort-of some men to-associate and how the
ἑαυτῶν βίον οἰκονομεῖν. ὅσοι γὰρ τοῦ βίου ταύτην
their-own life to-manage as-many-as for of-the life this
τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι
the road traveled these alone the virtue to-attain
γνησίως ἠδυνήθησαν, ἧς οὐδὲν κτῆμα σεμνότερον οὐδὲ
genuinely were-able than-which no possession more-august nor
βεβαιότερόν ἐστι.
more-firm is
κάλλος μὲν γὰρ ἢ χρόνος ἀνήλωσεν ἢ νόσος ἐμάρανε· 6
beauty indeed for either time spent or disease withered
πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης
wealth and of-wickedness rather than of-nobility servant
ἐστίν, ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ
is license indeed to-the idleness providing to
δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν· ῥώμη δὲ μετὰ
and the pleasures the young summoning strength but with
μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς
indeed wisdom benefited without but this more the-ones

ἔχοντας ἔβλαψε, καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων
having harmed and the indeed bodies of-the-ones training
ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν.
adorned the but of-the soul cares darkened
7 ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ταῖς
the but of-the virtue possession in-whom — sincerely with-the
διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει, πλούτου δὲ
minds it-grows-up-with alone indeed grows-old-with than-wealth and
κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί, τὰ μὲν
stronger more-useful and than-noble-birth is the-things indeed
τοῖς ἄλλοις ἀδύνατα δυνατὰ καθιστᾶσα, τὰ δὲ τῷ
for-the others impossible possible rendering the-things but to-the
πλήθει φοβερὰ θαρσαλέως ὑπομένουσα, καὶ τὸν μὲν
multitude fearful boldly enduring and the indeed
ὄκνον ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη.
hesitation reproach the but toil praise considering
8 ῥᾴδιον δὲ τοῦτο καταμαθεῖν ἐστιν ἔκ τε τῶν Ἡρακλέους
easy and this to-learn is from both the of-Heracles
ἄθλων καὶ τῶν Θησέως ἔργων, οἷς ἡ τῶν τρόπων
labors and the of-Theseus deeds on-whom the of-the manners
ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις
virtue so-great of-good-repute stamp on-the deeds
ἐπέβαλεν, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι
set that not-even the all time to-be-able
λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων.
forgetfulness to-produce of-the-things by-them done
9 οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθεὶς
not however but also the of-the father principles having-recalled
οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ᾽ ἐμοῦ
own and fine you-will-have example of-the-things by me
σοι λεγομένων. οὐ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς οὐδὲ
to-you said not for neglecting the virtue nor

ῥᾳθυμῶν διετέλεσε τὸν βίον, ἀλλὰ τὸ μὲν σῶμα τοῖς
being-idle he-passed the life but the indeed body with-the
πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν.
toils he-exercised with-the but soul the dangers he-endured
οὐδὲ τὸν πλοῦτον παρακαίρως ἠγάπα, ἀλλ' ἀπέλαυε μὲν
nor the wealth unseasonably loved but he-enjoyed indeed
τῶν παρόντων ἀγαθῶν ὡς θνητός, ἐπεμελεῖτο δὲ τῶν
the present goods as mortal he-cared-for but the-things
ὑπαρχόντων ὡς ἀθάνατος.
existing as immortal
οὐδὲ ταπεινῶς διῴκει τὸν αὑτοῦ βίον, ἀλλὰ φιλόκαλος 10
nor meanly managed the his-own life but beauty-loving
ἦν καὶ μεγαλοπρεπὴς καὶ τοῖς φίλοις κοινός, καὶ μᾶλλον
he-was and magnificent and to-the friends sharing and more
ἐθαύμαζε τοὺς περὶ αὑτὸν σπουδάζοντας ἢ τοὺς γένει
admired the-ones about himself being-zealous than the-ones by-race
προσήκοντας· ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρίαν πολλῷ
related he-thought for to-be for companionship much
κρείττω φύσιν νόμου καὶ τρόπον γένους καὶ προαίρεσιν
stronger nature than-law and character than-kin and choice
ἀνάγκης.
than-necessity
ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου 11
would-fail and — us the whole time if all the his
πράξεις καταριθμησαίμεθα. ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν
actions we-should-enumerate but the indeed exact-account of-them
ἐν ἑτέροις καιροῖς δηλώσομεν, δεῖγμα δὲ τῆς Ἱππονίκου
in other occasions we-shall-show sample but of-the of-Hipponicus
φύσεως νῦν ἐξενηνόχαμεν, πρὸς ὃν δεῖ ζῆν σε
nature now we-have-brought-out to whom it-is-necessary to-live you
ὥσπερ πρὸς παράδειγμα, νόμον μὲν τὸν ἐκείνου τρόπον
as to example law indeed the his character

ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς
having-considered imitator and also emulator of-the paternal virtue
γιγνόμενον· αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν
becoming shameful for the indeed painters to-represent
τὰ καλὰ τῶν ζῴων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς
the fine-things of-the animals the but children not to-imitate the
σπουδαίους τῶν γονέων.
serious of-the parents

12 ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς
think and to-none of-the athletes so to-befit against the
ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν ὅπως ἐφάμιλλος
opponents to-train as for-you to-consider how a-rival
γενήσει τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν. οὕτω δὲ τὴν
you-will-become to-the of-the father pursuits so but the
γνώμην οὐ δυνατὸν διατεθῆναι τὸν μὴ πολλῶν καὶ
mind not possible to-be-disposed the-one not of-many and
καλῶν ἀκουσμάτων πεπληρωμένον· τὰ μὲν γὰρ σώματα
fine hearings filled the indeed for bodies
τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις
by-the moderate toils the but soul by-the serious words
αὔξεσθαι πέφυκε. διόπερ ἐγώ σοι πειράσομαι συντόμως
to-grow is-by-nature wherefore I to-you shall-try concisely
ὑποθέσθαι, δι᾽ ὧν ἄν μοι δοκεῖς ἐπιτηδευμάτων πλεῖστον
to-suggest through what — to-me you-seem pursuits most
πρὸς ἀρετὴν ἐπιδοῦναι καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν
toward virtue to-advance and among the other all
ἀνθρώποις εὐδοκιμῆσαι.
men to-be-well-thought-of

13 πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεούς, μὴ μόνον
first indeed then be-pious-in the-things toward the gods not only
θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ
sacrificing but also by-the oaths abiding that indeed for

τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν
of-the of-the money abundance sign this but of-the of-the
τρόπων καλοκαγαθίας τεκμήριον. τίμα τὸ δαιμόνιον ἀεὶ
manners nobility proof honor the divinity always
μέν, μάλιστα δὲ μετὰ τῆς πόλεως· οὕτω γὰρ δόξεις
indeed most but with the city so for you-will-seem
ἅμα τε τοῖς θεοῖς θύειν καὶ τοῖς νόμοις ἐμμένειν.
at-the-same-time both to-the gods to-sacrifice and by-the laws to-abide
τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ 14
such become toward the parents as — you-would-pray toward
σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας.
yourself to-become the your-own children
ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων μὴ τὰ πρὸς
practice of-the about the body exercises not the-ones for
τὴν ῥώμην ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν· τούτου δ' ἂν
the strength but the-ones for the health of-this and —
ἐπιτύχοις, εἰ λήγοις τῶν πόνων ἔτι πονεῖν δυνάμενος.
you-would-attain if you-should-cease from-the toils still to-toil able
μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους 15
neither laughter headlong cherish nor speech with boldness
ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν.
accept the-one indeed for foolish the-other but mad
ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι
what to-do shameful these think not-even to-say to-be
καλόν. ἔθιζε σεαυτὸν εἶναι μὴ σκυθρωπὸν ἀλλὰ σύννουν·
fine accustom yourself to-be not sullen but thoughtful
δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος
through that indeed for self-willed through but this sensible
εἶναι δόξεις. ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον,
to-be you-will-seem think most for-yourself to-befit decorum

αἰσχύνην δικαιοσύνην σωφροσύνην· τούτοις γὰρ ἅπασι
modesty justice temperance by-these for all
δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος.
seems to-be-ruled the of-the younger character
16 μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν·
never anything shameful having-done hope to-be-going-to-escape-notice
καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σεαυτῷ συνειδήσεις.
even for if the others you-escape-notice yourself you-will-be-conscious
τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ
the indeed gods fear the but parents honor the but
φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου.
friends respect the but laws obey
τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ
the pleasures hunt the-ones with reputation delight for with the
καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου κάκιστον.
fine indeed best without but this worst
17 εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ
beware-of the slanders even-if false they-be the for
πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν
many the indeed truth are-ignorant-of to but the opinion
ἀποβλέπουσιν. ἅπαντα δόκει ποιεῖν ὡς μηδένα λήσων·
look all-things suppose to-do as no-one going-to-escape-notice
καὶ γὰρ ἃ παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσει.
and for what for-the-moment you-hide later you-will-be-seen
μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα
most but — you-would-be-well-thought-of if you-should-appear these-things
μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης.
not doing which the others — doing you-would-censure
18 ἐὰν ᾖς φιλομαθής, ἔσει πολυμαθής. ἃ μὲν ἐπίστασαι,
if you-be fond-of-learning you-will-be much-learned what indeed you-know
ταῦτα διαφύλαττε ταῖς μελέταις, ἃ δὲ μὴ μεμάθηκας,
these preserve by-the practices what but not you-have-learned

προσλάμβανε ταῖς ἐπιστήμαις· ὁμοίως γὰρ αἰσχρὸν
acquire-besides by-the knowledges alike for shameful
ἀκούσαντα χρήσιμον λόγον μὴ μαθεῖν καὶ διδόμενόν τι
having-heard useful speech not to-learn and being-given something
ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαβεῖν. κατανάλισκε τὴν ἐν
good from the friends not to-take spend the in
τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ
the life leisure on the of-the speeches love-of-listening so for
τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι
the-things by-the others with-difficulty found will-happen to-you
ῥᾳδίως μανθάνειν.
easily to-learn
ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων 19
think of-the hearings many than-much to-be money
κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ
better the-ones indeed for quickly leave the-others but
πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνον τῶν
all the time remain wisdom for alone of-the
κτημάτων ἀθάνατον. μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι
possessions immortal not shrink long road to-travel
πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους·
to the-ones to-teach something useful professing
αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη
shameful for the indeed merchants such-great seas
διαπερᾶν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν
to-cross for-the-sake of-the more to-make the existing
οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας
property the but younger not-even the by land journeys
ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν αὑτῶν διάνοιαν.
to-endure for the better to-make the their-own mind

20 τῷ μὲν τρόπῳ γίγνου φιλοπροσήγορος, τῷ δὲ
in-the indeed manner become friendly-of-greeting in-the but
λόγῳ εὐπροσήγορος. ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ
speech pleasant-of-address is and of-friendliness indeed the
προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τὸ τοῖς
to-address the-ones meeting of-pleasant-address but the with-the
λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. ἡδέως μὲν ἔχε
words them familiarly to-converse pleasantly indeed be-disposed
πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς
toward all use but the best so for to-the-ones
μὲν οὐκ ἀπεχθὴς ἔσει, τοῖς δὲ φίλος γενήσει.
indeed not hateful you-will-be to-the-others but friend you-will-become
τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς, μηδὲ μακρὰς
the meetings not make frequent with-the same nor long
περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων.
about the same-things surfeit for of-all-things

21 γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύνῃ καὶ τοὺς
exercise yourself with-toils voluntary so-that — you-can also the
ἀκουσίους ὑπομένειν. ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν,
involuntary to-endure by which to-be-ruled the soul shameful
τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς,
of-these self-mastery practice of-all of-gain of-anger of-pleasure
λύπης. ἔσει δὲ τοιοῦτος, ἐὰν κέρδη μὲν εἶναι νομίζῃς
of-pain you-will-be and such if gains indeed to-be you-think
δι' ὧν εὐδοκιμήσεις ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις,
through which you-will-be-well-thought-of but not through which you-will-be-well-off
τῇ δὲ ὀργῇ παραπλησίως ἔχῃς πρὸς τοὺς
with-the and anger similarly you-be-disposed toward the-ones
ἁμαρτάνοντας ὥσπερ ἂν πρὸς ἑαυτὸν ἁμαρτάνοντα καὶ
erring as — toward yourself erring also
τοὺς ἄλλους ἔχειν ἀξιώσειας, ἐν δὲ τοῖς τερπνοῖς, ἐὰν
the others to-be-disposed you-would-think-fit in but the delights if

αἰσχρὸν ὑπολάβῃς τῶν μὲν οἰκετῶν ἄρχειν ταῖς δ' ἡδοναῖς
shameful you-suppose the indeed servants to-rule the but pleasures
δουλεύειν, ἐν δὲ τοῖς πονηροῖς, ἐὰν τὰς τῶν ἄλλων ἀτυχίας
to-serve in but the hardships if the of-the others misfortunes
ἐπιβλέπῃς καὶ αὑτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς.
you-look-upon and yourself that human being you-remind
μᾶλλον τήρει τὰς τῶν λόγων ἢ τὰς τῶν χρημάτων 22
more keep the of-the words than the of-the money
παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον
deposits it-is-necessary for the good men a-character
ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους. προσήκειν ἡγοῦ
than-oath more-trustworthy to-appear presenting to-befit think
τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν.
for-the wicked to-distrust as for-the good to-trust
περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως
about the secrets to-no-one speak except if alike
συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι
it-be-advantageous the affairs to-be-kept-silent for-you both the speaking
κἀκείνοις τοῖς ἀκούουσιν.
and-for-those the hearing
ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σεαυτὸν 23
oath imposed accept for two reasons either yourself
αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων
of-a-charge shameful clearing or friends from great dangers
διασώζων. ἕνεκα δὲ χρημάτων μηδένα θεῶν ὀμόσῃς,
saving for-the-sake but of-money no-one of-gods swear-by
μηδ' ἂν εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν
not-even if to-swear-truly you-be-going you-will-seem for to-the-ones indeed
ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.
to-swear-falsely to-the-others but avariciously to-be-disposed

24 μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς κέχρηται τοῖς
no-one friend make before — you-examine how he-has-treated the
πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενέσθαι
former friends expect for him also toward you to-become
τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε. βραδέως μὲν
such as also toward them he-has-become slowly indeed
φίλος γίγνου, γενόμενος δὲ πειρῶ διαμένειν· ὁμοίως
friend become having-become but try to-remain alike
γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν καὶ πολλοὺς ἑταίρους
for shameful no-one friend to-have and many companions
μεταλλάττειν. μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτ᾽
to-change neither with harm test the friends nor
ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. τοῦτο δὲ ποιήσεις, ἐὰν
inexperienced to-be of-the companions wish this and you-will-do if
μὴ δεόμενος τὸ δεῖσθαι προσποιῇ.
not needing the to-need you-pretend

25 περὶ τῶν ῥητῶν ὡς ἀπορρήτων ἀνακοινοῦ· μὴ τυχὼν
about the-things speakable as unspeakable communicate not having-succeeded
μὲν γὰρ οὐδὲν βλαβήσει, τυχὼν δὲ μᾶλλον αὐτῶν
indeed for in-nothing you-will-be-harmed having-succeeded but more their
τὸν τρόπον ἐπιστήσει. δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς
the character you-will-know test the friends from both the
περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας·
in the life misfortune and the in the dangers partnership
τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ βασανίζομεν, τοὺς δὲ
the indeed for gold in the fire we-test the but
φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν. οὕτως ἄριστα
friends in the misfortunes we-discern so best
χρήσει τοῖς φίλοις, ἐὰν μὴ προσμένῃς τὰς παρ᾽ ἐκείνων
you-will-use the friends if not you-wait-for the from them
δεήσεις, ἀλλ᾽ αὐτεπάγγελτος αὐτοῖς ἐν τοῖς καιροῖς βοηθῇς.
requests but unbidden them in the crises you-help

Be ashamed to be outdone by friends in kindness or by enemies in harm, and accept friends who rejoice in your good fortune. Be elegant, not foppish; use wealth rather than hoard it; reproach no one with misfortune; do good to the good, since kindness to the bad is like feeding a stranger's dogs; hate flatterers; be sociable rather than proud; leave drinking parties early; consider education a greater good than its lack; take the past as an example in deliberation; imitate the kings; prefer just poverty to unjust wealth; train your mind; and think before speaking. In danger seek safety with honor, since death is the lot of all and a noble death the privilege of the good. Zeus made Heracles immortal for his virtue and punished Tantalus for his wickedness. Isocrates says some precepts suit a later age, and urges Demonicus to gather the best from the poets and others, as the bee takes from every flower.

ὁμοίως αἰσχρὸν εἶναι νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς 26
alike shameful to-be think by-the enemies to-be-conquered in-the
κακοποιίαις καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις.
evil-doings and by-the friends to-be-outdone in-the benefactions
ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς
accept of-the companions not only the-ones at the evils
δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ
being-vexed but also the-ones at the goods not
φθονοῦντας· πολλοὶ γὰρ ἀτυχοῦσι μὲν τοῖς φίλοις
envying many for being-unfortunate indeed with-the friends
συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι. τῶν ἀπόντων
grieve-with well but faring they-envy the absent
φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ
friends remember before the present so-that you-may-seem not-even
τούτων ἀπόντων ὀλιγωρεῖν.
these absent to-neglect

27 εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ
to-be wish the-things about the dress elegant but not
καλλωπιστής. ἔστι δὲ φιλοκάλου μὲν τὸ μεγαλοπρεπές,
a-dandy is and of-elegant indeed the magnificent
καλλωπιστοῦ δὲ τὸ περίεργον.
of-dandy but the overdone
ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν
love of-the existing goods not the excessive
κτῆσιν ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. καταφρόνει τῶν
acquisition but the moderate enjoyment despise the-ones
περὶ τὸν πλοῦτον σπουδαζόντων μέν, χρῆσθαι δὲ τοῖς
about the wealth being-zealous indeed to-use but the
ὑπάρχουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι
existing not able like for the such
πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν
suffer as — if anyone horse should-acquire fine
κακῶς ἱππεύειν ἐπιστάμενος.
badly to-ride knowing-how
28 πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. ἔστι
try the wealth money and possessions to-make is
δὲ χρήματα μὲν τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα
and money indeed for-the-ones to-enjoy knowing-how possessions
δὲ τοῖς κτᾶσθαι δυναμένοις. τίμα τὴν ὑπάρχουσαν οὐσίαν
but for-the-ones to-acquire able honor the existing property
δυοῖν ἕνεκεν, τοῦ τε ζημίαν μεγάλην ἐκτῖσαι δύνασθαι, καὶ
of-two for-the-sake-of the both penalty great to-pay to-be-able and
τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι· πρὸς δὲ τὸν ἄλλον
the a-friend good being-unfortunate to-help for but the other
βίον μηδὲν ὑπερβαλλόντως ἀλλὰ μετρίως αὐτὴν ἀγάπα.
life nothing excessively but moderately it love
29 στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω.
cherish indeed the-things present seek but the better-things

μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ
to-no-one misfortune reproach common for the fortune and the
μέλλον ἀόρατον.
future unseen
τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ θησαυρὸς παρ᾽ ἀνδρὶ
the good well treat fine for treasure with man
σπουδαίῳ χάρις ὀφειλομένη. τοὺς κακοὺς εὖ ποιῶν ὅμοια
good gratitude owed the bad well treating like-things
πείσει τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν· ἐκεῖναί τε
you-will-suffer to-the-ones the others' dogs feeding they both
γὰρ τοὺς διδόντας ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν, οἵ τε
for the-ones giving as the-ones chance-met bark-at the and
κακοὶ τοὺς ὠφελοῦντας ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι.
bad the-ones benefiting as the-ones harming wrong
μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας· 30
hate the-ones flattering as the-ones deceiving
ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύσαντας ἀδικοῦσιν.
both for having-been-trusted the-ones having-trusted wrong
ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατον
if you-accept of-the friends the-ones toward the basest
χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ
gratifying not you-will-have in the life the-ones for the
βέλτιστον ἀπεχθανομένους.
best incurring-hatred
γίγνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικός, ἀλλὰ μὴ
be toward the-ones approaching sociable but not
σεμνός· τὸν μὲν γὰρ τῶν ὑπεροπτικῶν ὄγκον μόλις ἂν
haughty the indeed for of-the arrogant pomp scarcely —
οἱ δοῦλοι καρτερήσειαν, τὸν δὲ τῶν ὁμιλητικῶν τρόπον
the slaves could-endure the but of-the sociable character
ἅπαντες ἡδέως ὑποφέρουσιν.
all gladly bear

31 ὁμιλητικὸς δ’ ἔσει μὴ δύσερις ὢν μηδὲ δυσάρεστος
sociable and you-will-be not contentious being nor hard-to-please
μηδὲ πρὸς πάντας φιλόνικος, μηδὲ πρὸς τὰς τῶν
nor toward all fond-of-strife nor toward the of-the-ones
πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μηδ’ ἂν ἀδίκως
approaching angers harshly meeting not-even if unjustly
ὀργιζόμενοι τυγχάνωσιν, ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς
being-angry they-happen but being-enraged indeed to-them
εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων· μηδὲ
yielding having-ceased but from-the anger rebuking nor
παρὰ τὰ γελοῖα σπουδάζων, μηδὲ παρὰ τὰ σπουδαῖα τοῖς
amid the jests being-serious nor amid the serious-things in-the
γελοίοις χαίρων (τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν)·
jests delighting the for unseasonable everywhere painful
μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος, ὅπερ
nor the favors ungraciously granting which-very
πάσχουσιν οἱ πολλοί, ποιοῦντες μέν, ἀηδῶς δὲ τοῖς
suffer the many doing indeed unpleasantly but to-the
φίλοις ὑπουργοῦντες· μηδὲ φιλαίτιος ὤν, βαρὺ γάρ, μηδὲ
friends rendering-service nor fault-finding being grievous for nor
φιλεπιτιμητής, παροξυντικὸν γάρ.
censorious provoking for

32 μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας·
most indeed beware-of the in the drinking-parties gatherings
ἐὰν δέ ποτέ σοι συμπέσῃ καιρός, ἐξανίστασο πρὸ μέθης.
if but ever to-you it-befall occasion rise-and-leave before drunkenness
ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει
when for the mind by wine is-corrupted the-same-things it-suffers
τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβαλοῦσιν· ἐκεῖνά τε
as-the chariots the-ones the drivers having-thrown those both

γὰρ ἀτάκτως φέρεται διαμαρτόντα τῶν εὐθυνούντων, ἥ
for disorderly are-carried having-lost the guiders the
τε ψυχὴ πολλὰ σφάλλεται διαφθαρείσης τῆς διανοίας.
and soul much stumbles corrupted the mind
ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ
immortal-things indeed think by-the great-souled to-be mortal-things
δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν.
but by-the moderately the existing to-enjoy
ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς 33
think the education by-so-much greater good to-be than-the
ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες
lack-of-education by-as-much-as the indeed other wicked-things all
κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε
gaining do this but alone also further-penalized
τοὺς ἔχοντας· πολλάκις γάρ, ὧν τοῖς λόγοις ἐλύπησαν,
the-ones having often for for-what with-the words they-pained
τούτων τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν.
for-these with-the deeds the penalty they-paid
οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ
whom — you-wish to-make friends good something say about
αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας· ἀρχὴ γὰρ φιλίας
them to the-ones reporting beginning for of-friendship
μὲν ἔπαινος, ἔχθρας δὲ ψόγος.
indeed praise of-enmity but blame
βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν 34
deliberating examples make the past-things for-the
μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην
future-things the for unseen from the seen quickest
ἔχει τὴν διάγνωσιν. βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ
has the discernment deliberate indeed slowly accomplish but
ταχέως τὰ δόξαντα. ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν
quickly the-things resolved think best to-be from indeed

τῶν θεῶν εὐτυχίαν, παρὰ δ' ἡμῶν αὐτῶν εὐβουλίαν.
the gods good-fortune from but us ourselves good-counsel
περὶ ὧν ἂν αἰσχύνῃ παρρησιάσασθαι, βούλῃ δέ τισι
about what — you-are-ashamed to-speak-freely you-wish but to-some
τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις ὡς περὶ
of-the friends to-communicate use the words as about
ἀλλοτρίου τοῦ πράγματος· οὕτω γὰρ τὴν ἐκείνων τε
another's the affair so for the their both
γνῶσιν αἰσθήσει, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις.
judgment you-will-perceive and yourself not evident you-will-make
35 ὅταν ὑπὲρ σεαυτοῦ μέλλῃς τινὶ συμβούλῳ χρῆσθαι,
whenever for yourself you-are-going some adviser to-use
σκόπει πρῶτον πῶς τὰ ἑαυτοῦ διῴκησεν· ὁ γὰρ κακῶς
consider first how the his-own-things he-managed the-one for badly
διανοηθεὶς περὶ τῶν οἰκείων οὐδέποτε καλῶς βουλεύσεται
having-thought about the own-things never well will-deliberate
περὶ τῶν ἀλλοτρίων. οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι
about the others'-things so and — most to-deliberate
παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας
you-would-be-spurred if the misfortunes the from the ill-counsel
ἐπιβλέψειας· καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν,
you-should-look-at and for of-the health most care we-have
ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀρρωστίας ἀναμνησθῶμεν.
when the pains the from the sickness we-recall
36 μιμοῦ τὰ τῶν βασιλέων ἤθη καὶ δίωκε τὰ ἐκείνων
imitate the of-the kings characters and pursue the their
ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ
pursuits you-will-seem for them to-approve and
ζηλοῦν, ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον
to-emulate so-that for-you it-will-happen among both the multitude more
εὐδοκιμεῖν καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν
to-be-well-thought-of and the from them goodwill firmer

ἔχειν. πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων
to-have obey indeed also the laws the by the kings
κειμένοις, ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν ἐκείνων
laid-down strongest however law think the their
τρόπον. ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον τὸ
character as for the-one in democracy living-as-citizen the
πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ
multitude it-is-necessary to-court so also the-one in monarchy
κατοικοῦντα τὸν βασιλέα προσήκει θαυμάζειν.
dwelling the king it-befits to-admire
εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς 37
into office having-been-appointed no-one use wicked for the
διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας
administrations of-what for — he errs to-you the blames
ἀναθήσουσιν. ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ
they-will-attach from the public cares depart not
πλουσιώτερος ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων
richer but more-renowned than-much for money
κρειττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.
better the from the multitude praise
μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο μήτε συνηγόρει·
to-no wicked deed neither stand-by nor plead-for
δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷά περ ἂν
you-will-seem for also yourself such-things to-do as very —
τοῖς ἄλλοις πράττουσι βοηθῇς.
the others doing you-help
παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δύνασθαι, ἀνέχου 38
prepare yourself to-gain-advantage indeed to-be-able endure
δὲ τὸ ἴσον ἔχων, ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης
but the equal having so-that you-may-seem to-reach-for the justice
μὴ δι' ἀσθένειαν ἀλλὰ δι' ἐπιείκειαν. μᾶλλον ἀποδέχου
not through weakness but through fairness rather accept

δικαίαν πενίαν ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων
just poverty than wealth unjust by-so-much for better
δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον
justice than-money by-as-much-as the-ones indeed living only
ὠφελεῖ, τὸ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει,
benefits the-other but also having-died reputation provides
κἀκείνων μὲν τοῖς φαύλοις μέτεστι, τούτου δὲ τοῖς
and-of-those indeed the base share of-this but for-the
μοχθηροῖς ἀδύνατον μεταλαβεῖν.
wicked impossible to-partake
39 μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ
no-one emulate of-the-ones from injustice gaining but
μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ
rather accept the-ones with justice having-lost the
γὰρ δίκαιοι τῶν ἀδίκων εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν,
for just than-the unjust if nothing else they-gain-advantage
ἀλλ᾽ οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσιν.
but anyway in-hopes at-least serious they-excel
40 πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ
all-things indeed care-for the-things about the life most but
τὴν σαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ
the your-own wisdom practice greatest for in least
νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. πειρῶ τῷ μὲν
mind good in man's body try with-the indeed
σώματι εἶναι φιλόπονος, τῇ δὲ ψυχῇ φιλόσοφος, ἵνα
body to-be toil-loving with-the but soul wisdom-loving so-that
τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ
with-the-one indeed to-accomplish you-may-be-able the-things resolved with-the-other
δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα.
but to-foresee you-may-know-how the advantageous-things

πᾶν ὅ τι ἂν μέλλῃς ἐρεῖν, πρότερον ἐπισκόπει τῇ 41
everything what ever — you-are-going to-say first examine with-the
γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας. δύο
mind for-many for the tongue runs-ahead of-the thought two
ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ
make occasions of-the to-speak either about what you-know clearly or about
ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς
what necessary to-speak in these for alone the speech than-the
σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν.
silence better in but the others better to-be-silent than to-speak
νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ 42
think nothing to-be of-the human-things firm so for
οὔτ' εὐτυχῶν ἔσει περιχαρὴς οὔτε δυστυχῶν περίλυπος.
neither faring-well you-will-be overjoyed nor faring-ill overgrieved
χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, λυποῦ δὲ
rejoice indeed at the-ones befalling of-the goods grieve but
μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κακῶν, γίγνου δὲ τοῖς
moderately at the-ones happening of-the evils be and to-the
ἄλλοις μηδ' ἐν ἑτέροις ὢν κατάδηλος· ἄτοπον γὰρ τὴν
others not-even in others being evident strange for the
μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν
indeed property in the houses to-hide the but mind
φανερὰν ἔχοντα περιπατεῖν.
visible having to-walk-about
μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον· δεῖ γὰρ εἶναι 43
more beware-of blame than danger it-is-necessary for to-be
φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτήν, τοῖς
fearful to-the indeed base the of-the life end to-the
δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν. μάλιστα μὲν
but serious the in the to-live disrepute most indeed
πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν· ἐὰν δέ ποτέ σοι
try to-live according-to the safety if but ever to-you

συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν
it-befall to-run-risk seek the from the war safety
μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ᾽ αἰσχρᾶς φήμης· τὸ μὲν
with fine reputation but not with shameful report the indeed
γὰρ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινε, τὸ δὲ
for to-die of-all the destiny decreed the but
καλῶς ἀποθανεῖν ἴδιον τοῖς σπουδαίοις ἀπένειμεν.
nobly to-die as-own to-the serious it-allotted
44 καὶ μὴ θαυμάσῃς εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει
and not wonder if many of-the-things said not befit
σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν. οὐδὲ γὰρ ἐμὲ τοῦτο
you for the now present age not-even for me this
διέλαθεν· ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας
escaped but I-chose through the same treatise
ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενεγκεῖν
at-the-same-time of-the both present life counsel to-bring-out
καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. τὴν
and of-the future time precept to-leave the
μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις, τὸν δὲ μετ᾽
indeed for of-these use easily you-will-know the-one but with
εὐνοίας συμβουλεύοντα χαλεπῶς εὑρήσεις. ὅπως οὖν
goodwill advising with-difficulty you-will-find so-that then
μὴ παρ᾽ ἑτέρου τὰ λοιπὰ ζητῇς, ἀλλ᾽ ἐντεῦθεν
not from another the remaining-things you-may-seek but from-here
ὥσπερ ἐκ ταμιείου προφέρῃς, ᾠήθην δεῖν μηδὲν
as from storehouse you-may-bring-forth I-thought to-be-necessary nothing
παραλιπεῖν ὧν ἔχω σοι συμβουλεύειν.
to-omit of-what I-have for-you to-advise
45 πολλὴν δ᾽ ἂν τοῖς θεοῖς χάριν σχοίην, εἰ μὴ
much and — to-the gods gratitude I-would-have if not
διαμάρτοιμι τῆς δόξης ἧς ἔχων περὶ σοῦ τυγχάνω.
I-should-be-disappointed of-the opinion which having about you I-happen

τῶν μὲν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ
of-the indeed for others the most we-shall-find as
τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον ἢ τοῖς ὑγιεινοτάτοις
of-the foods in-the sweetest rather than in-the most-wholesome
χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι
delighting so also of-the friends the-ones erring-with-them
πλησιάζοντας, ἀλλ᾽ οὐ τοῖς νουθετοῦσι. σὲ δὲ νομίζω
approaching but not the-ones admonishing you but I-think
τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ
the-opposite of-these to-have-resolved as-evidence using the
περὶ τὴν ἄλλην παιδείαν φιλοπονίᾳ· τὸν γὰρ αὑτῷ τὰ
about the other education industry the-one for himself the
βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν
best-things to-do enjoining this likely also of-the
ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι.
others the-ones to the virtue summoning to-accept
μάλιστα δ᾽ ἂν παροξυνθείης ὀρέγεσθαι τῶν καλῶν ἔργων, εἰ 46
most and — you-would-be-spurred to-reach-for the fine deeds if
καταμάθοις ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων μάλιστα γνησίως
you-should-learn that also the pleasures from these most genuinely
ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥᾳθυμεῖν καὶ τὰς πλησμονὰς ἀγαπᾶν
we-have in indeed for the to-be-idle and the surfeits to-love
εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι, τὸ δὲ περὶ τὴν
at-once the pains to-the pleasures are-fixed-beside the but about the
ἀρετὴν φιλοπονεῖν καὶ σωφρόνως τὸν αὑτοῦ βίον οἰκονομεῖν
virtue to-toil and temperately the his-own life to-manage
ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀποδίδωσι·
always the delights pure and firmer renders
κἀκεῖ μὲν πρότερον ἡσθέντες ὕστερον ἐλυπήθημεν, 47
and-there indeed first having-been-pleased later we-were-pained
ἐνταῦθα δὲ μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν. ἐν πᾶσι
here but after the pains the pleasures we-have in all

δὲ τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς
and the deeds not so the beginning we-remember as the
τελευτῆς αἴσθησιν λαμβάνομεν· τὰ γὰρ πλεῖστα τῶν
end perception we-take the for most of-the-things
περὶ τὸν βίον οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν,
about the life not for-the-sake-of themselves the things we-do
ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκεν διαπονοῦμεν.
but of-the outcomes for-the-sake we-labor
48 ἐνθυμοῦ δ' ὅτι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα
consider and that for-the indeed base it-is-allowed the-things chance
πράττειν· εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν
to-do at-once for of-the life such they-have-made the
ὑπόθεσιν· τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν
foundation for-the but serious not possible — the virtue to-neglect
διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. πάντες γὰρ
because-of the many to-have the-ones rebuking all for
μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας ὡς τοὺς ἐπιεικεῖς
hate not so the-ones erring as the-ones reasonable
μὲν φήσαντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας,
indeed having-claimed to-be in-nothing but than-the chance-ones differing
49 εἰκότως· ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνον ψευδομένους
reasonably where for the-ones in-the word only lying
ἀποδοκιμάζομεν, ἦ πού γε τοὺς τῷ βίῳ παντὶ
we-reject surely somehow at-least the-ones in-the life whole
ἐλαττουμένους οὐ φαύλους εἶναι φήσομεν; δικαίως δ' ἂν τοὺς
falling-short not base to-be shall-we-say justly and — the
τοιούτους ὑπολάβοιμεν μὴ μόνον εἰς αὑτοὺς ἁμαρτάνειν,
such we-would-suppose not only against themselves to-err
ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς
but also of-the fortune to-be betrayers she indeed for to-them

χρήματα καὶ δόξαν καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς
money and reputation and friends entrusted they but them-
αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν.
-selves unworthy of-the existing happiness made
εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν στοχάσασθαι 50
if but it-is-necessary mortal being the of-the gods to-guess
διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα
mind I-think they-too in the most-intimate most
δηλῶσαι πῶς ἔχουσι πρὸς τοὺς φαύλους καὶ τοὺς
to-have-shown how they-are-disposed toward the base and the
σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον
serious of-the men Zeus for Heracles and Tantalus
γεννήσας, ὡς οἱ μῦθοι λέγουσι καὶ πάντες πιστεύουσι,
having-begotten as the myths say and all believe
τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ
the-one indeed because-of the virtue immortal made the-other but
διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν.
because-of the wickedness with-the greatest punishments punished
οἷς δεῖ παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς 51
which it-is-necessary examples using to-reach-for the
καλοκαγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις
nobility and not only by-the-things by us said
ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν,
to-abide but also of-the poets the best-things to-learn
καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν,
and of-the other sophists if anything useful they-have-said
ἀναγιγνώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα 52
to-read as for the bee we-see on all
μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ
indeed the shoots settling from each but the
βέλτιστα λαμβάνουσαν, οὕτω δεῖ καὶ τοὺς παιδείας
best-things taking so it-is-necessary also the-ones education

ὀρεγομένους μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ
reaching-for of-nothing indeed inexperienced to-be from-everywhere but
τὰ χρήσιμα συλλέγειν. μόλις γὰρ ἄν τις ἐκ ταύτης
the useful-things to-gather with-difficulty for — anyone from this
τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.
the care the of-the nature faults could-overcome
